Ὁ δὲ δριμύξας καὶ λίαν βλοσυρὸν[1] εἰσαθρήσας πληκτικώτερον ἡμῖν ἔφησε νεύσας[2] τοὺς[3] Εὐαγγελιστὰς ἐφευρέτας, οὐχ ἱστορας τῶν περὶ τὸν[4] Ἰησοῦν γεγενῆσθαι[5] πράξεων. Ἕκαστος γὰρ αὐτῶν οὐ σύμφωνον[6] ἀλλ' ἑτερόφωνον μάλιστα τὸν λόγον περὶ τοῦ πάθους ἔγραψεν· ὁ μὲν γὰρ ἱστορεῖ, [a]ὡς σταυρωθέντι σπόγγον τις[7] ὄξους πληρώσας[8] προσήνεγκεν. Ὁ δὲ ἑτέρως· [b]Εἰς τὸν τόπον, φησὶν, ἐλθόντες[9] Γολγοθᾶ, ἔδωκαν[10] αὐτῷ πιεῖν οἶνον μετὰ χολῆς[11] μεμιγμένον· καὶ γευσάμενος οὐκ ἠθέλησε πιεῖν· καὶ μετ' ὀλίγα· [c]Περὶ[12] δὲ τὴν ἐνάτην ὥραν ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἐλωεὶμ, Ἐλωεὶμ, λεμὰ σαβαχθανεί; τουτέστι[13] Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὗτος δ' ἐστὶ Ματθαῖος. Ὁ δέ φησι[14]· [d]Σκεῦος ἔκειτο ὄξους μεστόν[15]· σκεῦος οὖν μεστὸν τοῦ ὄξους σὺν ὑσσώπῳ προσδήσαντες προσήνεγκαν[17] αὐτοῦ τῷ στόματι· ὅτε οὖν ἔλαβε τὸ ὄξος[18] ὁ Ἰησοῦς εἶπε· Τετέλεσται[19]· καὶ κλίνας τὴν κεφαλὴν[20] παρέδωκε τὸ πνεῦμα· οὗτός ἐστιν[21] ὁ Ἰωάννης[22]. Ὁ δὲ λέγει· [e]Καὶ φωνῇ μεγάλῃ κράξας εἶπε[23]· Πάτερ, εἰς χεῖράς σου[24] παραθήσομαι τὸ πνεῦμά μου[25]· οὗτος δὲ τυγχάνει Λουκᾶς. Ἐκ ταύτης τῆς ἑώλου[26] ἱστορίας καὶ διαφώνου, ὡς οὐχ ἑνὸς ἀλλὰ πολλῶν πεπονθότων[27], ἔστι λαβεῖν τὸν λόγον· εἰ[28] γὰρ ὁ μέν·

[a] Cf. Marc. xv, 36.
[b] Cf. Matth. xxvii, 33, 34.
[c] Cf. Matth. xxvii, 46; Ps. xxii, 2.
Quat. III. Fol. 10, r°[16].
[d] Cf. Ioh. xix, 29, 30.
[e] Cf. Luc. xxiii, 46.

[1] βλοσυρὸν] Cod. βλοσσυρὸν comp. σσ. — [2] νεύσας τοὺς] Cod. νεύσας :|Τοὺς. — [3] Cod. in ext. marg. iuxta Τοὺς a pr. m. ιβ. — [4] τὸν] Sub ο al. — [5] Cod. in ext. marg. iuxta σθαι voc. γεγενῆ-|σθαι : ἀμφιβολι (corr. in ἀμφι-βολί) [α] περὶ|τοῦ θείου πάθους a recentiore manu. — [6] σύμφωνον] Pr. l. σύμφο. — [7] σπόγγον τις] Cod. σπόγγον τὶς. — [8] πληρώσας] Sub ρ al. — [9] ἐλθόντες] Cod. ἐλθόντος pl., sub θ al. — [10] ἔδωκαν] Pr. l. ἔ. — [11] μετὰ χολῆς] Cod. μεταχο-|λῆς. Cod. in ext. marg. iuxta λῆς v. χολῆς lin. — [12] Cod. in ext. marg. iuxta περὶ lin. — [13] τουτέστι] Pr. l. τουτέστιν. — [14] δέ φησι] Cod. infra inter ε et φ punctum an hyph. — [15] Cod. in ima fol. parte σκεῦος. — [16] Cod. in summa marg. ext. ora 17 a rec. m. — [17] προσδήσαντες προσήνεγκαν] Cod. interp. προσδήσαντες; προσήνεγ-|καν. — [18] ὄξος] Pr. l. οι, ι longissimum. — [19] Τετέλεσται] τετέλεσται, sub σ aliquid. — [20] κεφαλὴν] Cod. κφαλὴν. — [21] οὗτός ἐστιν] Cod. οὗτος ἐστὶν. — [22] Ἰωάννης] Cod. comp. ἰωάννης mendose, utpote in quo desit s. — [23] εἶπε] Pr. l. εἶπεν. — [24] χεῖράς σου] Cod. χεῖρας σου. — [25] πνεῦμά μου] Cod. πνεῦμα- (comp.) |μου. — [26] ἑώλου] Cod. ἐώλου. — [27] πεπονθότων] Pr. l. πεπονθόν. — [28] λόγον· εἰ] Cod. supra ον εἰ lin. pall. atr.

uc. xxiii, [a]Εἰς χεῖράς σου[1], λέγει, πaραθήσομαι τὸ πνεῦμά μου[2], ὁ δέ· [b]Τετέλεσται[3], ὁ
h. xix, 30. δέ· [c]Θεέ μου, Θεέ μου[4], ἵνα τί με ἐγκατέλιπες; ὁ δέ· [d]Ὁ Θεὸς, Θεός μου[5], εἰς
tth. xxvii, τί ὠνείδισάς[6] με[7]; φανερὸν, ὡς ἀσύμφωνος αὕτη μυθοποιΐα[8] ἡ πολλοὺς[9] σταυ-
s. xxii, 2. Cf. Marc. ρουμένους ἐμφαίνει ἢ ἕνα δυσθανατοῦντα, καὶ τὸ σαφὲς τοῖς πaροῦσι τοῦ πά-
vi. θους μὴ πaρέχοντα· εἰ δὲ κατὰ ἀλήθειαν τὸν τρόπον τοῦ[10] θανάτου εἰπεῖν 5
μὴ δυνάμενοι[11] οὗτοι πaντάπασιν ἐρραψώδησαν[12], καὶ περὶ τῶν λοιπῶν οὐδὲν
ἐσαφήνισαν.

[1] χεῖράς σου] Cod. χεῖρας σου. — [2] πνεῦμά μου] Cod. πν(εῦμ comp.)α μα μου. — [3] C. in ext. marg. iuxta εἰ et τετέ- v. τετέ-|λεσται comp. σημείωσαι pall. atr. — [4] μου] Pr. l. με. — [5] Θεός μου] Cod. Θεὸς (comp.) μου. — [6] ὠνείδισάς] Pr. l. ὀ. — [7] με] Sub ε f. al. — [8] Cod. in ext. marg. iuxta μυθο- v. μυθο-|ποιΐα lin. — [9] πολλοὺς] Pr. l. πολο. — [10] τρόπον τοῦ] Cod. infra ὁπον τ lin. — τοῦ] Sub. ο al. — [11] εἰπεῖν-δυνάμενοι] Cod. infra πεῖν μὴ δ lin. — [12] Cod. in ext. marg. iuxta ἐῤῥα- v. ἐῤῥα-|ψώδησαν lin.

CAPUT XIII.

Quæstio de dictis : Ad Iesum autem cum venissent, ut viderunt eum iam mortuum, non fregerunt eius crura, sed unus militum lancea latus eius aperuit, et continuo exivit sanguis et aqua. Et qui vidit testimonium perhibuit, et verum est eius testimonium. (Ioh. XIX, 33, 34, 35.)

Ὅτι δὲ τὰ περὶ τοῦ τέλους αὐτοῦ πάντα κατεσ|οχάσαντο, ἐξ ἑτέρου κεφα-
[a] Cf. Ioh. XIX. 33, 34. λαίου τοῦτ' ἀποδειχθήσεται [1]. Γράφει γὰρ Ἰωάννης· [a]Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόν-
τες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν
σ|ρατιωτῶν λόγχῃ ἔνυξεν [2] αὐτοῦ τὴν πλευράν· καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ
ὕδωρ· μόνος γὰρ τοῦτ' εἴρηκεν ὁ Ἰωάννης [3], τῶν δ' ἄλλων οὐδείς· διὸ καὶ αὐτὸς
[b] Ioh. XIX. 35. ἑαυτῷ [4] βούλεται [5] μαρτυρεῖν λέγων· [b]Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀλη-
θινὴ [6] αὐτοῦ ἐσ|ιν [7] ἡ μαρτυρία. Ὅπερ [8] δοκεῖ μοι, τουτὶ κέφου [9] τυγχάνει τὸ
Fol. 10, v°. ῥῆμα· πῶς γὰρ ἀληθινὴ ἡ μαρτυρία τοῦ, περὶ οὗ ἡ μαρτυρία, μὴ ὑφεσ|ῶτος;
μαρτυρεῖ γάρ τις περὶ τοῦ ὄντος· περὶ δὲ τοῦ μὴ ὄντος πῶς ἂν λεχθῇ [10] μαρ-
τυρία;

[1] C. in int. marg. iuxta θήσεται ιγ'. — [2] ἔνυ-ξεν] Pr. l. ἔνυξυ. — [3] Ἰωάννης] Pl. ἰωάννης. — [4] ἑαυτῷ] Cod. ἑαυτῶ. — [5] βούλεται] Pr. l. o. — [6] ἀληθινὴ] ἀλη-| pr. l. θη. — [7] αὐτοῦ ἐσ|ιν] Cod. ἀυτοῦ ἐσ|ὶν. — [8] Ὅπερ] Malim pro Ὅπερ ponere Ὥσπερ. — [9] μοι, τουτὶ κέπ-φου] Cod. interp. μοι τουτὶ, κέπφου. — [10] λεχθῇ] Cod. λεχθῆ.

CAPUT XIV.

Quæstio de resurrectione Christi et manifestatione. (Matth. xxviii, 6, sq.; Marc. xvi, 6, sq.; Luc. xxiv, 6, sq.; Ioh. xx, 1, sq.)

Ἔσ|ι[1] καὶ ἕτερος λόγος δυνάμενος σαθρὰν ταύτην ἐλέγξαι τὴν δόξαν ὁ περὶ[2] τῆς ἀνασ|άσεως αὐτοῦ τῆς πανταχοῦ θρυλλουμένης[3], τίνος χάριν ὁ Ἰησοῦς μετὰ τὸ παθεῖν αὐτὸν, ὥς φατε, καὶ ἀνασ|ῆναι οὐκ ἐμφανίζεται Πιλάτῳ[4] τῷ κολάσαντι αὐτὸν καὶ λέγοντι μηδὲν ἄξιον πεπραχέναι θανάτου, ἢ Ἡρῴδῃ τῷ τῶν Ἰουδαίων βασιλεῖ, ἢ τῷ ἀρχιερεῖ τῆς Ἰουδαϊκῆς φατρίας, ἢ πολλοῖς ἅμα καὶ ἀξιοπίσ|οις, καὶ μάλισ|α Ῥωμαίων τῇ τε βουλῇ καὶ τῷ δήμῳ, ἵνα τὰ κατ' αὐτὸν θαυμάσαντες μὴ δόγματι κοινῷ καταψηφίσωνται[5] θάνατον ὡς ἀσεβῶν τῶν πειθομένων αὐτῷ· ἀλλ' ἐμφανίζει τῇ Μαγδαληνῇ[6] Μαρίᾳ[7] γυναικὶ χυδαίᾳ καὶ ἀπὸ κωμυδρίου[8] λυπροτάτου τινὸς ὡρμωμένῃ[9], καὶ ὑπὸ ἑπτὰ δαιμόνων κατασχεθείσῃ[10] ποτὲ[11], μετ' ἐκείνης δὲ καὶ ἄλλῃ[12] Μαρίᾳ[13] ἀφανεσ|άτῳ καὶ αὐτῷ γυναίῳ[14] κωμητικῷ, καὶ ἄλλοις ὀλίγοις οὐ σφόδρα ἐπισήμοις· καίτοι φάσκοντος Ματθαίου τῷ ἀρχιερεῖ[15] τῶν Ἰουδαίων προειρηκέναι[16]· [a]Ἀπάρτι, λέγοντα[17], ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐν δεξιᾷ τῆς δυνάμεως, καὶ ἐρχόμενον[18] μετὰ τῶν νεφελῶν. Εἰ γὰρ ἦν ἐμφανίσας[19] ἀνδράσιν ἐπισήμοις[20], δι' αὐτῶν πάντες[21] ἂν ἐπίσ|ευον[22], καὶ οὐδεὶς ἂν τῶν δικασ|ῶν ὡς μύθους ἀλλοκότους ἀναπλάσ|οντας ἐκόλαζεν[23]· οὐδὲ γὰρ Θεῷ[24] δήπουθεν ἀρεσ|ὸν ἀλλ' οὐδὲ ἀνθρώπῳ συνετῷ πολλοὺς δι' αὐτὸν ταῖς ἀνωτάτω τιμωρίαις ὑποβληθῆναι.

[a] Cf. Matth. xvi, 64; xxiv, 30; Marc, xiv, 62; xiii, 26; Luc. xxii, 69; xxi, 27; Apoc. i, 7.

[1] Cod. in ext. marg. iuxta Ἔσ|ι : ιδ̄. Cod. in ext. marg. iuxta τῆς ἀνασ|άσεως : ἀπορία περὶ τῆς ἐμφανί-|σεως τοῦ Ἰησοῦ (comp. ἰησοῦ) μετὰ τὴν ἀ-|νάσ|ασιν a rec. m. — [2] Cod. in int. marg. iuxta περὶ duas lin. — [3] θρυλλουμένης] Pr. l. f. θο. — [4] Πιλάτῳ] Cod. πῖλά-|τω. — [5] καταψηφίσωνται] Cod. καταψηφήσωνται. — [6] Μαγδαληνῇ] Cod. μαγδαλινῇ. — [7] Cod. in ext. marg. iuxta μαρια lin. — Μαρίᾳ] C. μαρία. — [8] κωμυδρίου] Pr. l. κωμι. — [9] ὡρμωμένῃ] Cod. pr. l. ὁ; alt. ὡρμω-|μένη. — [10] κατασχεθείσῃ] Pr. l. κατασχεθή. — [11] κατασχεθείσῃ ποτὲ] Cod. κατασχεθείσῃ παρ (lig. παρ lin. transf.) ποτὲ. — [12] Cod. in ext. marg. iuxta ἄλλη lin. — ἄλλῃ] Cod. ἄλλη. — [13] Μαρίᾳ] Cod. μαρία. — [14] γυναίῳ] Sub υ lig. υν al. — [15] ἀρχιερεῖ] Cod. ἀρχι.|=ερεῖ, sub α inch. ρ. — [16] προειρηκέναι] Cod. προειρηκέναι an προηρηκέναι. — [17] λέγοντα] Cod. ἀπάρτι λέγων (sic) ὄψεσθε. F. malis λέγων delere. — [18] ἐρχόμενον] Cod. in ima parte litt. χ lin. — [19] ἐμφανίσας] Pr. l. ἐφ. — [20] ἐπισήμοις] Cod. in int. marg. iuxta ἐι et infra ἐπισ lin. — [21] πάντες] Comp. ες, ubi desunt ambo puncta. — [22] πάντες ἂν ἐπίσ|ευον] Cod. in textu πάντες not. ·/. ἐπίσ|ευον; in ext. marg. cum ead. nota ἀν. — ἐπίσ|ευον] Sub lig. σ| al. — [23] ἐκόλαζεν] Cod. ἐκόλαζον pl., sub ἐ al. — [24] Θεῷ] Cod. θεοῦ comp.

CAPUT XV.

Quæstio de dicto : Nunc iudicium est mundi, nunc princeps huius mundi eicietur foras. (Ioh. XII, 31.)

Fol. 11, r° [1].

[a] Cf. Ioh. XII, 31 ; XVI, 11.

Ἐὰν δέ τις [2] κἀκείνην τὴν γεγραμμένην ἐν τῷ Εὐαγγελίῳ τερθρείαν [3] ἀναγνῷ, σΦόδρα [4] εἴσεται τερατολογίαν εἶναι τὰ εἰρημένα [5], ἔνθα [6] Φησί· [a]Νῦν κρίσις ἔστι [7] τοῦ κόσμου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου βληθήσεται ἔξω. Εἰπὲ γάρ μοι πρὸς Θεοῦ, τίς [8] ἡ κρίσις ἡ τότε γινομένη, καὶ [9] τίς [10] ὁ ἄρχων τοῦ κόσμου ὁ βληθεὶς ἔξω; εἰ [11] μὲν γὰρ ἐρεῖτε τὸν αὐτοκράτορα [12], ἀλλ' οὐκ ἔστι μόνος ἄρχων, ἀλλ' οὐδ' ἐβλήθη κάτω· πολλοὶ γὰρ ἄρχουσι τοῦ κόσμου· εἰ δὲ νοητόν τινα καὶ ἀσώματον, οὐ [13] δυνατὸν βληθῆναι ἔξω· ποῦ γὰρ βληθῇ [14] ἄρχων τυγχάνων τοῦ κόσμου; Εἰ μὲν γὰρ ἄλλον λέξετέ που κόσμον ὑΦεστάναι, εἰς ὃν ἄρχων βληθήσεται, ἐκ πιθανῆς ἡμῖν [15] ἱστορίας τοῦτο εἴπατε· εἰ δ' οὐκ ἔστιν ἄλλος, ἐπεὶ μηδὲ δυνατὸν κόσμους [16] ὑΦεστάναι δύο, ποῦ βληθῇ [17] ὁ ἄρχων [18], εἰ μήτι γε ἐν αὐτῷ, ἐν ᾧ [19] τυγχάνων ἐστίν; καὶ πῶς, ἐν ᾧ [19] τις ἔστιν [20], ἐν αὐτῷ καταβάλλεται; εἰ μήτι κατὰ τὸ [21] κεραμεοῦν ἄγγος, ὃ συντριβὲν καὶ τὸ ἐν αὐτῷ ἔξω βληθῆναι ποιεῖ [22] ὅμως [23] οὐκ εἰς κενὸν ἀλλ' εἰς ἕτερον σῶμα ἀέρος ἢ γῆς, εἰ τύχοι, ἢ ἄλλου [24] τινός. Εἰ γοῦν ὁμοίως, ὅπερ [25] ἀδύνατον, συντριβέντος τοῦ κόσμου, ὁ ἐν αὐτῷ [26] βληθήσεται ἔξω, καὶ ποῖος ἔξω χῶρος, εἰς ὃν ἐκβληθήσεται [27]; τί δὲ καὶ [28] τὸ ἴδιον ἐν ἐκείνῳ τῷ χώρῳ [29] ποσὸν ἢ ποιὸν ὕψος ἢ βάθος ἢ μῆκος ἢ πλάτος; εἰ γὰρ ταῦτ' ἐν αὐτῷ, κόσμος ἔσται ταῦτ' ἔχων. Τίς [30] δ' αἰτία βληθῆναι τὸν ἄρχοντα ἔξω ὡς ξένον τοῦ κόσμου;

[1] Cod. in summa marg. ext. ora 18 a rec. m. — [2] C. in ima fol. 10 parte pr. l. κἀκεινους ; alt. κἀκείνην. — [3] τερθρείαν] Pr. l. τερθρί. — [4] Cod. in ext. marg. iuxta σΦόδρα lin. — [5] εἰρημένα,] Cod. post εἰρημένα : interp. — [6] Cod. ιε in int. marg. iuxta Ἔνθα. — ἔνθα] Ἔνθα in init. v. — [7] κρίσις ἔστι] Cod. κρίσϊς ἐστὶ. — [8] τίς] Cod. τις. — [9] Cod. in ext. margine iuxta καὶ lineam. — [10] τίς] Cod. τὶς an τίς. — [11] εἰ] Sub ει al. — [12] αὐτοκράτορα] Cod. infra ντο hyph. — [13] ἀσώματον, οὐ] Cod. in textu ἀσώματον ·/., οὐ (puncto mut. in virg.); in ext. marg. cum ead. nota αρχοντα a rec. m. — [14] βληθῇ] Cod. βληθῆ. Cf. infra not. 17. — [15] Cod. in ext. marg. iuxta ἡμῖν lin. — [16] κόσμους] Pr. l. κόσι. — [17] βληθῇ] Cod. βληθῆ. Cf. supra not. 14. — [18] ἄρχων] Prior. lect. ἀρχο. — [19] ᾧ] Cod. ὧ. — [20] ἔστιν] Cod. ἐστὶν. — [21] τὸ] Prior. lect. τῷ. — [22] ποιεῖ] Cod. pr. l. ποι-; sec. f. ποι-ως comp. ως ; tert. ποι-εῖ, ubi inter acc. et ι lig. ει lin. — [23] ὅμως] Cod. in ext. marg. ὅμως iuxta ποιεῖ. — [24] ἄλλου] Cod. ἀλλου. — [25] ὅπερ] Cod. ὁπερ. — [26] αὐτῷ] Prior. l. αὐτο ; alt. αὐτῷ. — [27] ἐκβληθήσεται] Pr. l. ἐκβη. — [28] καὶ] Sub αι f. η. — [29] χώρῳ] Pr. l. χώρᾳ. — [30] Τίς] Cod. τὶς an τίς.

fol. 11, v°. καὶ πῶς ξένος ὢν ἦρξε; πῶς δ' ἐκβάλλεται[1]; ἑκὼν[2] ἢ ἄκων; ἄκων δηλονότι[3]· ἀπὸ γὰρ τῆς λέξεως φανερὸν τὸ λεγόμενον· τὸ γὰρ ἐκβαλλόμενον ἀκουσίως ἐκβάλλεται· ἀλλ' ὁ βιαζόμενος οὐχ ὁ[4] τὴν βίαν ὑπομένων ἀδικεῖ. Καὶ τὴν μὲν τοσαύτην τῶν Εὐαγγελίων ἀσάφειαν γυναίοις οὐκ ἀνδράσι παραχωρεῖν δίκαιον· εἰ γὰρ θέλοιμεν τὰ τοιαῦτα ζητεῖν ἀκριβέστερον, εὑρήσομεν[5] μυρίας ἀσαφεῖς διηγήσεις λόγου μηδὲν κατεχούσας[6] ἕρμαιον.

[1] ἐκβάλλεται] Cod. pr. l. εκβάλε; alt. εκβάλλεται. — [2] ἐκβάλλεται; ἑκὼν] Cod. post εκβάλλεται, interp. — [3] δηλονότι] Cod. infra νό hyph. — [4] οὐχ ὁ] Ita; alias οὐχ' ὁ. — [5] εὑρήσομεν] In lig. σο rescr. ο. — [6] κατεχούσας] Pr. l. f. κατεχουσι.

CAPUT XVI.

Quæstio de dicto : Non potestis audire sermonem meum. Vos ex patre diabolo estis, et desideria patris vestri vultis facere. (Ioh. VIII, 43, 44.)

Φέρε[1] δὴ κἀκείνης τῆς ἐπισκηνίου λέξεως ἀκούσωμεν τῆς πρὸς τοὺς Ἰου-
[a] Cf. Ioh. VIII, 43, 44. δαίους[2] ὧδε γεγενημένης· [a]Οὐ δύνασθε, φησὶν[3], ἀκούειν τὸν λόγον τὸν ἐμὸν, ὅτι[4] ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ· καὶ τὰς ἐπιθυμίας[5] τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. Τίς οὖν ὁ διάβολος ὁ τῶν Ἰουδαίων πατὴρ, ἡμῖν διασάφησον· οἱ γὰρ τὰς ἐπιθυμίας τοῦ πατρὸς ἐκτελοῦντες πρεπόντως[6] τοῦτο ποιοῦσι γνώμῃ πατρὸς[7] εἴκοντες, καὶ τοῦτον τιμώμενοι[8]· εἰ δὲ κακὸς ὁ πατὴρ, οὐ τοῖς τέκνοις τὸ ἔγκλημα[9] τοῦ κακοῦ προσαπλέον[10]. Τίς[11] οὖν ἐκεῖνος ὁ πατὴρ, οὗ τὰς ἐπιθυμίας ποιοῦντες οὐκ ἤκουον τοῦ Χριστοῦ; λεγόντων γὰρ τῶν Ἰουδαίων, ὡς ἕνα πατέρα ἔχομεν τὸν Θεὸν, ἀκυροῖ τοῦτον τὸν λόγον ἐν τῷ
[b] Ioh. VIII, 44. φάσκειν· [b]Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ· τουτέστιν[12] ἐκ[13] τοῦ διαβόλου ἐστέ[14]. Τίς[15] οὖν ὁ διάβολος ἐκεῖνος; καὶ ποῦ τυγχάνει; καὶ τίνα διαβαλὼν[16] τὴν ἐπωνυμίαν ταύτην ἐκληρώσατο; δοκεῖ[17] γὰρ οὐ κύριον ἀλλ' ἐκ τοῦ συμβεβηκότος τοῦτ' ἔχειν τὸ ὄνομα· ὅπερ ἂν μάθωμεν[18], δεόντως εἰσόμεθα· ἐκ διαβολῆς γὰρ εἰ καλεῖται[19] διάβολος, τίνων μεταξὺ φανεὶς τὴν ἀπη-
Fol. 12, r° 21. γορευμένην πρᾶξιν ἀπετέλεσεν; Ὀφθήσεται γὰρ κἀν τούτῳ[20] ὁ τὴν διαβολὴν δεχόμενος εὐχερῆς, μᾶλιστ' ἀδικούμενος ὁ διαβαλλόμενος· ὀφθήσεται δὲ καὶ[22] αὐτὸς μηδὲν ἠδικηκὼς[23] ὁ διάβολος, ἀλλ' ὁ τῆς διαβολῆς ὑποδείξας τὴν πρόφασιν. Ὡς γὰρ ὁ θεὶς ἐν ὁδῷ νύκτωρ τὸν σκόλοπα[24] οὐχ ὁ περιπατῶν καὶ

[1] Cod. in ext. marg. ῑσῡ. Ibid. iuxta ὧδε et διαβόλου a rec. m. : ἀπορία εἰς τὸ, ὑμεῖς|ἐκ τοῦ πατρὸς ὑμῶν (?) τοῦ|διαβόλου ἐστὲ (corr. in ἐστέ). — [2] Ἰουδαίους] Cod. in textu pr. l. ἰδου; sec. ἰουδαίους; tert. ἰουδαίους not. ·/. supra pos.; in ext. marg. iuxta Φέρε cum ead. nota ἰουδαίους a rec. m. — [3] φησὶν] Cod. φησϊν comp. — [4] λόγον τὸν ἐμὸν, ὅτι] Pr. l. λόγου, ὅτι; alt. λόγον τὸν ἐμὸν (τὸν ἐμὸν supra scr., infra comp. ον v. λόγον not. ʌ), ὅτι. — [5] τὰς ἐπιθυμίας] Cod. τὰς ἐπϊ τὰς (ἐπϊ τὰς lin. transf.) ἐπιθυμίας. — [6] πρεπόντως] Pr. l. πρεπόντο. — [7] πατρὸς] Pr. l. πα lig. παρ inch. — [8] τιμώμενοι] Cod. pr. l. τιμούμοι; alt. τιμούμενοι. — [9] ἔγκλημα] Pr. l. f. ἔν. — [10] προσαπλέον] Pr. l. προσαπέ. — [11] Τίς] Cod. τὶς an τίς. — [12] τουτέστιν] Cod. infra υτε hyph. — [13] ἐκ] Cod. εκ. — [14] ἐστέ] Cod. ἐστὲ anc. sp. — [15] Τίς] Cod. τὶς. — [16] διαβαλὼν] Pr. l. διαβαλῶ; alt. διαβαλὼν pr. acc. lig. ῶ manente. — [17] δοκεῖ] Sub ο al. — [18] μάθωμεν] Cod. μάθωμεν. — [19] καλεῖται] Pr. l. καλεῖ comp. -ει superscr.; alt. καλεῖται comp. ται adscr. — [20] Cod. in ima fol. parte τῳ ὁ τὴν. — [21] Cod. in summa marg. ext. ora 19 a rec. m. — [22] ὀφθήσεται δὲ καὶ] Pr. l. ὀφθήσεται καὶ; alt. ὀφθήσεται δὲ (δὲ comp. pall. atr. superscr.) καὶ. — [23] ἠδικηκὼς] Pr. l. ἠδικηκῶ. — [24] σκόλοπα] Pr. lectionem σκό-|λωπα; alteram σκό-|λοπα, alterum ο litteræ ω simillimum.

ϖλαίων[1] ὑπεύθυνος, ἀλλ' ὁ καταπήξας λαμβάνει τὸ ἔγκλημα[2], οὕτως ὁ διαβολῆς[3] ἐνθέμενος ἀφορμὴν αὐτὸς ϖλέον[4], οὐχ ὁ κατέχων, οὐδ' ὁ λαβὼν ἀδικεῖ. Λέγε δὲ κἀκεῖνο[5]· ὁ διαβάλλων ϖαθητὸς[6] ἢ ἀπαθής; εἰ μὲν γὰρ ἀπαθὴς, οὐκ ἄν ϖοτε διέβαλεν· εἰ δ' ἐμπαθὴς, ὀφείλει συγγνώμης τυχεῖν· οὐδεὶς γὰρ νοσήμασι φυσικοῖς ἐνοχλούμενος ὡς ἀδικῶν κρίνεται, ἀλλ' ὡς καταπονούμενος ϖρὸς ϖάντων οἰκτείρεται.

[1] ϖλαίων] Pr. l. ϖάι; alt. ι ins. — [2] ἔγκλημα] Pr. l. f. ἔκ. — [3] διαβολῆς] Sub β f. al. — [4] ϖλέον] Cod. supra ον comp. et duos acc. pæne deleta : f. pr. l. ϖλέων; secundam ϖλεόνων; tertiam ϖλέον. — [5] κἀκεῖνο] Cod. κακεῖνο. — [6] ϖαθητὸς] Sub littera ϖ inchoatum β.

CAPUT XVII.

Solutio de discrepantia Evangelistarum speciatimque de dictis Matth. xxvii, 48; Marc. xv, 23; Luc. xxiii, 36; Ioh. xix, 29.

ΧΡΙΣΤΙΑΝΟΣ[1].

Τοσαῦτα κἀν[2] τούτοις καταρητορεύσαντος τοῦ τὴν[3] ἑλληνικὴν δόξαν τῷ κόμπῳ πρεσβεύοντος[4], οὐδὲν μὲν ἡμεῖς ὑπὸ τοῦ θορύβου τῶν εἰρημένων καταπλαγέντες τὴν[5] ψυχὴν ὠρρωδήσαμεν[6]· ἐκ συνηθείας δὲ τὸν οὐσιώδη λόγον λέγειν δυσωπήσαντες εἴπομεν, ὡς ἡ θεία[7] χάρις ἡμῖν ἐπεκούρησε[8], καὶ, τῶν Εὐαγγελισταῖς ἐναλλαγῇ[9] τῆς[10] λέξεως μιᾶς ἱστορίας νοῦν φυλαξάντων ἕνα, σαφῶς ἡρμηνεύσαμεν[11] φάντες·

Οὐδεὶς ἀπὸ συλλαβῶν[12] οὐδὲ στοιχείων ἐν τῇ τῶν πραγμάτων[13] φύσει[14] ζητεῖ τὴν[15] ἀλήθειαν, ἀλλ' ἀπὸ τοῦ πράγματος δοκιμάζει τὴν διαφορὰν[16] τῶν λέξεων. Ὥσπερ ἀμέλει τὸ λογικὸν ἄνθρωπον[17] εἴ τις εἴποι, καὶ ἄλλος[18] βροτὸν[19], καὶ ἕτερος μέροπα, καὶ πάλιν[20] ἄλλος ἄνδρα, τῷ λόγῳ μὲν ἐρεῖ[21] πολλά, ἓν δὲ τὸ ὑποκείμενον[22]· κἂν βροτόν τις εἴποι, κἂν ἄνδρα, κἂν μέροπα, οὐδὲν ἕτερον ἢ τὸν ἄνθρωπον λέγει· ὁμοίως δὲ κἀπὶ[23] τοῦ ἱματίου[24]· κἂν λώπιον, κἂν ἔνδυμα, κἂν πέπλον, κἂν ὕφασμα λέξοι τις[25], οὐ πολλὰ λέγει ἀλλ' ἕν[26]

Fol. 12, v°.

[1] In ext. marg. iuxta πρὸς comp. χρισλιανός a pr. m. — [2] κἀν] Cod. κᾀν. — [3] τοῦ τὴν] Pr. l. τὴν τοῦ; alt. τοῦ τὴν, supra τὴν litt. 6 scr., supra τοῦ litt. α scr. — [4] πρεσβεύοντος] Pr. l. πρεσβεύοντες. — [5] τὴν] Comp. τὴν f. inter καταπλαγέντες et ψυχὴν ins. — [6] ὠρρωδήσαμεν] Cod. ὠῤῥοδήσαμεν. — [7] θεία] Cod. θεῖα. — [8] ἐπεκούρησε] Cod. ἐπικούρησε. — [9] ἐναλλαγῇ] Cod. ἐναλλαγῆ. — [10] τῆς] Cod. supra τῆς pl. lin. — [11] ἡρμηνεύσαμεν] Cod. ἑρμηνέυσαμεν. — [12] ἀπὸ συλλαβῶν] Cod. ἀποσυλλαβῶν. — [13] τῶν πραγμάτων] Pr. l. τῶν πράξεων; alt. τῶν πραγμάτων, voc. πράξεων lin. transf. — [14] Cod. in ext. marg. iuxta φύ- v. φύ-|σει et δῖα- v. δῖα-|φορὰν transversam lin. — [15] ζητεῖ τὴν] Cod. inter voces, ut videtur, τ et comp. superscr. erasa. — [16] Cod. in ext. marg. iuxta δῖα- v. δῖα-|φορὰν duas lin. — [17] ἄνθρωπον] Pr. l. comp. ἄνθρωπος. — [18] ἄλλος] Cod. ἀλλος. — [19] βροτὸν] Pr. o rescr. — [20] πάλιν] Sub π al. exp.; sec. l. πάϊν; tert. πάλϊν. — [21] Cod. in ext. marg. iuxta ἐρεῖ et πολλὰ λέγει necnon in textu inter πολλὰ-ἐναλλαγῇ et ἐπὶ-εὐαγγελισταῖς : ἐν ἄλλοις εἴρῆται (corr. in εἴρηται)|καὶ ὑσσῶ (corr. in ὑσσῷ) περιθέντες|δυνατὸν ἡμαρτῆσθαι τα (corr. in τὰ)|ἀντιγραφα (corr. in ἀντίγραφα) ἐν οἷς γέ|γραπται ὑσσώπῳ· ὑσσὸς|δὲ λέγεται τὸ δόρυ· ἄλλος γὰρ|ἄλλοτε στρατιώτης περιετίθετο|τὸν σπόγγον πολλοὶ γὰρ κατὰ πόσα διαστήματα ἐπότιζον αὐτὸν ἰουδαίοις χαριζόμενοι a rec. m. — [22] ὑποκείμενον] Pr. l. ὑπομεν; alt. ὑποκείμενον, κεί superscr. — [23] κἀπὶ] Cod. κᾳπὶ. — [24] ἱματίου] Sub μ f. al. — [25] λέξοι τις] Cod. λέξοι τὶς. — [26] ἕν] Cod. ἓν.

τι πρᾶγμα ὀνομάτων[1] ἐναλλαγῇ. Οὕτω τὸ πραχθὲν ἐπὶ[2] τοῦ σταυροῦ ποτε[3] οἱ σπουδαῖοι τῶν Εὐαγγελισταῶν ἄνδρες συγγραφόμενοι, ἄλλος ἄλλως εἰπόντες, τὴν ἱστορίαν οὐκ ἔφθειραν[4]. Κἂν γοῦν ὄξος εἶπέ τις[5], κἂν ἄλλος οἶνον εἶπεν, οὐδὲν διημάρτησαν. Ἐπὶ δὲ τοῦ σπόγγου καὶ τῆς ὑσσώπου μὴ ξενισθῇς
Cf. Ioh. xix, ἀκούων, ὅτι· [a]Σκεῦος ὄξους[6] ὑσσώπῳ προσδήσαντες[7] ἐπότιζον[8] αὐτὸν, καὶ
Cf. Marc. 36. αὖθις· [b]Σπόγγον ὄξους πλήσαντες[9] προσήνεγκαν[10] αὐτῷ. Δοκεῖ γὰρ μίαν ἔχειν τῆς γενέσεως ἀγωγὴν ὅ τε κάλαμος καὶ ὁ σπόγγος καὶ ἡ ὕσσωπος· ἄσπαρτον γὰρ ἕκαστον αὐτῶν γίνεται, καὶ γενόμενον τέμνεται[11]· δέον γοῦν εἰπεῖν κάλαμον, εἶπεν ὕσσωπον διὰ τὴν[12] ὁμοίαν τῆς βλάστης καὶ τῆς τομῆς ἀγωγὴν, καὶ μαλισθ' ὅτι τὸν νόμον τῆς ἱστορίας φυλάττουσι[13], καὶ οὐδ' ἓν περαιτέρω[14] γράφουσιν ἢ τὸ λεχθὲν τότε ἐν τῷ ζέοντι τῆς μανίας θορύβῳ.

Οἱ γὰρ ἐνάγοντες μὲν ἦσαν Ἰουδαῖοι, οἱ δὲ κρίνοντες Ῥωμαῖοι, βάρβαρον ἔθνος ἑκάτερον[15], καὶ λόγον ἐλευθερίας μὴ[16] ἀντιποιούμενον[17], μηδὲ[18] παιδεύσεως ἑλληνικῆς κατέχον λεπτότητα· ἀλλ' ἦν τὰ πάντα[19] τότε ταραχῇ κλονούμενα, γῆ μὲν ὥσπερ ἐξ ἀντιτυπίας κραδαινομένη κάτωθεν, καὶ ῥηγνύμεναι πέτραι[20] καὶ τῷ[21] πατάγῳ τυπτόμεναι· εἶτ' ἐξαίφνης κατενεχθὲν ψηλαφητὸν σκότος, ἡλίου[22] τὴν οἰκείαν αὐγὴν ἀποκρύψαντος· ἔνηφεν οὐδεὶς τότε, ἀλλ' ἐκ
fol. 13, r°. τῆς συγχύσεως τῶν στοιχείων[23] ἐσκότωτο[24], οὕτω δεδονημένων[25] ἀδύτων ἀερίων, ἐγγείων, ὑπεργείων[26]. Προσδοκία λοιπὸν ἦν, μὴ κόσμος νεωτερίσας ὅλος αἰφνίδιον γῆν ἐργάσεται[27] θαλατταν, καὶ νύκτα τὴν ἡμέραν, μὴ συρμῷ

[1] ὀνομάτων] Cod. infra voc. et supra οις χαριζόμενοι adnot. (vide p. 28, not. 21) lin. — [2] In ext. marg. iuxta ἐπὶ et γκαν voc. προσήνε-|γκαν cum nota ·/. κἂν γοῦν ὄξος|εἶπετε, κἂν|ἄλλος οἶνον εἶ-(sub ε al.)|πεν, οὐδὲν διη-|μάρτησαν. επὶ (sic) a pr. m.; in textu ἔφθειραν· not. ·/. ἐπὶ. — [3] σταυροῦ ποτε] Cod. comp. σταυροῦ f. punctum ποτὲ. — [4] ἔφθειραν] Sub comp. αν al. — [5] εἶπέ τις] Cod. εἴπετε. — [6] ὄξους] Pr. l. ὄι (ι longiss.). — [7] Cod. in int. marg. iuxta προσδή- voc. προσδή-|σαντες a rec. m. τί λέγεις. — [8] ἐπότιζον] Pr. l. ἐπότιξ. — [9] πλήσαντες] Sub σ al. — [10] προσήνεγκαν] Cod. in ext. marg. iuxta γκαν voc. προσήνε-|γκαν et σπόγγος : =οἶμαι δ' ἐγὼ τὸν|μὲν τῶν εὐαγγελισταῶν|εἰρηκέναι τὸ ἐν ᾧ· |τουτέστι τὸν κάλαμον| ἐν ᾧ ἦν προσδε-|δεμένος ὁ ὕσσωπος· |τὸν δὲ τὸ· ὅ· τοῦτο| δέ ἐστιν ὁ ὕσσωπος· |τὸν δε. τὸ ὡς· (corr. in δὲ τὸ· ὡς·) τοῦτο|δέ ἐστιν ὁ| σπόγγος· ὁ γὰρ ὕσσω=|=πος εἰς δράγμα|προσδεδεμένος|ὡς σπόγγος ἐν τῷ|καλάμῳ, ἐπό=|=τιζεν ὃ (pr. l. ὃς) ἔπινεν| ἐκ τοῦ σκεύους ὀξῶδες (pr. l. ὀξὸ; sec. ὀξὼ (sic) δη) τουτέστιν (pr. l. τουτέστι.) ὀξόδη (corr. in ὀξώδη)|οἶνον, τὸν ἰησοῦν.|μελέτιος, ϖ. ζ a rec. m. — [11] τέμνεται] Sub alt. ε f. al. — [12] Cod. in int. marg. duas lin. — [13] φυλάττουσι] Pr. l. φυλάττουσιν. — [14] περαιτέρω] Cod. περαιτέρῳ. — [15] ἑκάτερον] Pr. l. ἑκατερον; alt. ἑκάτερον pall. atr. acc. — [16] Ante ἀντι voc. ἀντιποιούμενον semicirc. — [17] ἀντιποιούμενον] Pr. l. ποιούμενον; alt. ἀντιποιούμενον, præposito ἀντι in ext. marg. iuxta ποιούμενον scr. a pr. m. — [18] μηδὲ] Cod. μὴδὲ acc. supra η puncto simil. — [19] Cod. in int. marg. iuxta πάν- voc. πάν-|τα lin. — [20] πέτραι] Sub π aliquid. — [21] τῷ] Pr. l. το. — [22] ἡλίου] ἡλίο, υ superscr. pall. atr.; sub ο ου confuse scr. deinde in ο mut. — [23] Cod. in ima fol. parte ἐσκότωτο. — [24] Cod. in summa marg. ext. ora 20 a rec. m. — [25] δεδονημένων] Sub priore δ aliquid. — [26] ὑπεργείων] Malim ὑπογείων. — [27] ἐργάσεται] Cod. ἐργάσηται. Cf. infra ἀνοιχθήσεται, ἀποβράξει, τροχάσουσιν.

ῥαγδαίῳ[1] τινασσομένη χέρσος ἡ μὲν εἰς αὐλακώδεις ἀνοιχθήσεται πόρους, ἡ δὲ καταπεσοῦσα χάσματα κευθμώνων ἀποβράξει μυκώμενα[2]· δέος[3] μὴ, συναρπαζομένων ὀρέων[4] αἰφνίδιον[5] ἐκ τῆς σκληρᾶς καὶ ἀτεράμνου παρατριβῆς, ὀχετοὶ πυρὸς τροχάσουσιν ἄσβεστον· πάντα σκότος εἶχε δίχα[6] τῆς[7] ὑπερκοσμίου[8] καὶ ἀκηράτου μονῆς· ἡ[9] κτίσις τὸν κτίσαντα ἐν κτίσματι βλέπουσα[10] προπηλακιζόμενον[11] ἐτρόμασεν οὐ μετρίως, καὶ κατὰ τῶν ἀφρόνων ἀφόρητον τιμωρίας ηὐτρέπιζε μάστιγα. Τίς[12] οὖν, εἰπέ μοι[13], ἐν τοιαύτῃ κατασπάσει τὰς φρένας ὑγίαινε; τίς[14] ἔρρωτο τὴν ψυχήν[15]; τίς[16] οὐ πεπλήγει τὸν νοῦν; τίς[17] οὐ σεσινώμενον[18] ἐκέκτητο τὸ φρόνημα[19]; τίς[20] οὐχ ὡς ἐν οἴνῳ τὸν λόγον ἐμασᾶτο; τίς[21] οὐ δίκην καπήλου ἄσημα διελέγετο; τίς οὐχ ὅραμα βαθὺ καὶ μακρὸν ἐνύπνιον ἔβλεπε τὰ γινόμενα; οὐκ ἀνὴρ, οὐ γυνὴ, οὐ γέρων, οὐ πρεσβῦτις[22], οὐ παρθένος, οὐχ ἡλικία μικρὰ βεβηκότα τὸν λογισμὸν καὶ σταθηρὸν ἐκέκτητο, ἀλλ' ἐνεοὶ πάντες ἦσαν ὥσπερ ἐξ αἰθερίου βροντῆς ἐνηχημένοι, καὶ ἄλλος ἄλλο τι[23] παραπαίων ἔπρατεν οὐκ ἀκολουθίαν σώζων, οὐ[24] λόγον, οὐ κατάστασιν. Ὅθεν τὴν παροινίαν[25] αὐτῶν καὶ τὴν ἀλλόκοτον[26] πρᾶξιν ἔργῳ καὶ λόγῳ[27] τότε γινομένην ἀπρεπῶς ἔγραψαν οἱ γράφοντες μηδὲν ἐπιψευσάμενοι.

Fol. 13, v°.

Οὐδὲ γὰρ θεμιτὸν ἱστορα περαιτέρω[28] τι[29] τῶν γινομένων γράφειν ἢ τῶν λεγομένων, κἂν ἡ λέξις βάρβαρος· ἔχεις οὖν καὶτὸς ἱστοριογράφον κομψὸν τὸν Ἡρόδοτον[30] οὐ βάρβαρον ὄντα, βαρβάρους[31] δὲ λέξεις[32] ἐν τῇ ἱστορίᾳ γραφόμενον, ὀρέων[33] καὶ ποταμῶν ὀνόματα βάρβαρα τὰ μηδὲ[34] κληθέντα ποτὲ, εἰ μή ποθεν[35] αὐτὸς ἱστορήσας[36] ἔγραψεν οὐ[37] τῆς καθαρότητος ἀλλὰ τῆς ἀληθείας φροντίζων ἐργωδέστερον. Οὐ θαυμαστὸν οὖν εἰ καὶ οἱ Εὐαγγελισταὶ

[1] ῥαγδαίῳ] ραγδαίῳ, sp. om. — [2] μυκώμενα] Pr. l. μυκώμα. — [3] δέος] Sub s f. ν inch. — [4] ὀρέων] Pr. l. ὀ. — [5] αἰφνίδιον] Pr. l. f. έ. — [6] εἶχε δίχα] Cod. interp. εἶχε· δίχα. — [7] δίχα τῆς] Cod. supra voc. pall. atr. lin.; in ext. marg. iuxta ὑπερ voc. ὑπερ|κοσμίου comp. σημείωσαι eod. atr. — [8] ὑπερκοσμίου] Divisit cod. ὑπερ (non ὑπερ-)|κοσμίου. — [9] μονῆς· ἡ] Ita interp. cod. — [10] βλέπουσα] Pr. l. βλέποντα. — [11] προπηλακιζόμενον] Supra α acc. lin. transf. — [12] Τίς] Cod. τὶς. — [13] εἰπέ μοι] εἰπέ-|μοι. — [14] τίς] Cod. anc. acc. — [15] ψυχήν] Pr. l. f. ψυχι. — [16] τίς] Cod. anc. acc. — [17] τίς] Cod. τὶς. — [18] σεσινωμένον] Cod. σεσινωμένην comp. ην. — [19] τὸ φρόνημα] Cod. in textu τὴν| not. ·/. φρένα; in ext. marg. cum ead. nota φρόνημα a pr. m. — [20] τίς] Cod. τὶς. — [21] τίς] Cod. anc. acc. — [22] πρεσβῦτις] Cod. πρεσβύτης. — [23] ἄλλο τι] Cod. ἀλλότι, supra lig. λλ al. eras. — [24] σώζων, οὐ] Cod. interp. σώζων· οὐ. — [25] ὅθεν-παροινίαν] Cod. ante voc. et supra duas lin. — [26] ἀλλόκοτον] Cod. ἀλόκοτον. — [27] ἔργῳ καὶ λόγῳ] Pr. l. ἔργῳ, λόγῳ; alt. ἔργῳ, καὶ λόγῳ comp. καὶ superscr. — [28] περαιτέρω] Pr. l. περαιτέρο. — [29] τι] Cod. τὶ. — [30] Ἡρόδοτον] Pr. l. ἰ; alt. ἠρό-|δοτον. — [31] βαρβάρους] Cod. in textu βαρβάρου not. ·/. superscr.; in ext. marg. cum ead. nota βαρβάρους a rec. m. — [32] λέξεις] Pr. l. λέξι. — [33] γραφόμενον, ὀρέων] Cod. interp. γραφόμενον· ὀρέων. — [34] Cod. in ext. marg. iuxta μηδὲ a rec. m.: περὶ τῶν εὐαγγελι-|στῶν. — [35] μή ποθεν] Cod. μήποθεν. — [36] ἱστορήσας] Cod. ἱστορίσας. — [37] ἔγραψεν οὐ] Cod. interp. ἔγραψεν· οὐ.

δοκοῦσί τινα[1] συγγράφειν[2] ἀλλόκοτα, ἐπεὶ μὴ Φίλον αὐτοῖς ξέειν τὰ λεγόμενα, ἀλλὰ σπουδὴ[3] σώζειν τῶν εἰρημένων τὸ ἀληθές· κἂν γυνή τις, κἂν ἀνὴρ ἀνακόλουθον εἶπεν ἢ σεσολοικισμένον[4], σπουδὴ πᾶσα τοῦτο μόνον ἀπογράψασθαι. Οὕτω γὰρ ἀνύποπλον τὴν ἱστορίαν ἔσεσθαι τῷ[5] κόσμῳ διέγνωσαν, εἰ μὴ περιεργότερον ἀλλ' ἄπλαστον εὑρεθῇ τῆς ἱστορίας τὸ γράμμα· οὐ γὰρ πεπαιδευμένων ἢ γραμματικῶν οἱ ταῦτα γράφοντες ὑπῆρχον ἀπόγονοι· εἰ δὲ καὶ πεπαιδευμένοι, οὐκ ἐχρῆν τῶν ἀπαιδεύτων γραμμάτων κλέπλειν τὴν ἱστορίαν, καὶ λόγων δεινότητι καλλωπίζειν τὸ πραχθὲν, ἀλλ' ὡς ἐλέχθη τηρῆσαι τὸ ἦθος τῶν εἰπόντων.

[1] *δοκοῦσί τινα*] Cod. *δοκοῦσί τινὰ*. — [2] *συγγράφειν*] Cod. in textu not. *·/. γράφειν*; in ext. marg. cum ead. nota *συγγρά-* pall. atr. — [3] *σπουδὴ*] Pr. l. *σπουδῇ*, non *σπουδῇ*. — [4] *σεσολοικισμένον*] Sub pr. *ε* al. — [5] *τῷ*] Pr. l. *τὸ*; alt. *τῷ* pall. atr. corr.

CAPUT XVIII.

Solutio de dicto : Ad Iesum autem cum venissent, ut viderunt eum iam mortuum, non fregerunt eius crura, sed unus militum lancea latus eius aperuit, et continuo exivit sanguis et aqua. (Ioh. XIX, 33, 34.)

Μὴ δῆτα[1] οὖν σε μηδὲ[2] ἐκεῖνο ταρατ̓έτω τὸ κεφάλαιον[3], ὅτι μόνος Ἰωάννης
[a] Cf. Ioh. XIX, 33. φησίν[4] · [a]Ἐπὶ τὸν Ἰησοῦν ἐλθόντες οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, τῶν ἄλλων
οὐκ εἰπόντων · οὐ γὰρ, ἐπεὶ μόνος εἶπεν, οὐκ ἀποδοχῆς ἄξιος, ἀλλ', ὅτι[5]
Fol. 14, r° 6. σπουδῇ τοῦτ' ἀπεμνημόνευσεν, ἐπαινετὸς[7] εἰκότως · τοῦτο γὰρ εἰπὼν ἄλλο μεῖ-
ζον εἴρηκεν, ὃ καὶ τῆς οἰκονομίας σώζει τὸ μυσ̓ήριον, καὶ τοῦ θαύματος
[b] Cf. Ioh. XIX, 34. ἐφηγεῖται τὸν λόγον, φάς · [b]Εἷς τῶν σ̓ρατιωτῶν λόγχῃ τὴν πλευρὰν ἔνυξεν ·
ἵνα ἡ ἀνοιχθεῖσα πλευρὰ τὴν ἀποκλεισθεῖσαν[8] εἴσοδον[9] τῶν περιβόλων λάβῃ
τῆς καθάρσεως, ἵν', αἵματος ῥυέντος καὶ κρουνηδὸν ὕδατος, τῷ μὲν αἵματι
ῥυσθῶσιν[10] οἱ τῆς αἰχμαλωσίας τὴν χώραν οἰκήσαντες, τῷ δ' ὕδατι λουσθῶσιν
οἱ τῶν ἁμαρτημάτων[11] τοὺς μώλωπας ἔχοντες. Πέπρακται γοῦν οὐ περιέργως
ἀλλ' ἐκ προνοίας τοῦτο τῆς θείας ὥσπερ προμηθείας ὑποθεμένης γενέσθαι ·
ἐπειδὴ γὰρ....., ἐκ πλευρᾶς ἔδει[12] καὶ τὴν ἀφορμὴν τῆς σωτηρίας ῥυῆναι ·
ἐκ[13] πλευρᾶς ἡ πληγὴ, ἐκ πλευρᾶς ἡ πηγή · ἐκ[14] πλευρᾶς ἡ νόσος, ἐκ πλευ-
ρᾶς ἡ θεραπεία · ἐκ πλευρᾶς ἡ πλάνη, ἐκ πλευρᾶς ἡ ἀνάλυσις · ἐκ πλευρᾶς τὸ
πάθος, ἐκ πλευρᾶς ἡ ἀπάθεια. Εἷς τούτου μάρτυς ὁ Ἰωάννης, ὡς ἑνὸς ἀπορρήτου
ὄντος, μαρτυρεῖ τὸ ἀπόρρητον · Ἰωάννης τὸ πλαῖσμα τῆς πλευρᾶς ἀπὸ πλευ-
ρᾶς διορθοῦσθαι κέκραγεν · ἀληθινὸν[15] δὲ τοῦτο, κἂν μόνος αὐτὸ λέγει[16], τῶν
τριῶν οὐκ εἰπόντων, ἐπεὶ καὶ τὸν πένητα Λάζαρον ἄλλος ἰσ̓ορῶν καὶ τὸν ἀλα-
ζόνα πλούσιον ἀληθεύει, τῶν τριῶν μὴ λεγόντων. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

[1] Cod in ext. marg. iuxta δῆτα et φησὶν v. sq. σημείωσαι comp. — [2] μηδὲ] Cod. μὴ δὲ. — [3] κεφάλαιον] Pr. l. κφάλαιον; alt. κεφάλαιον ε pall. atr. superscr. — [4] φησίν] Cod. comp. φησὶν. — [5] Cod. in ima fol. parte pr. l. σπουδὴ; alt. σπουδῇ. — [6] Cod. in summa marg. ext. ora 21 a rec. m. — [7] ἐπαινετὸς] Pr. l. ἐπαινετὸς; alt. ἐπαινετὸς pall. atr. sp. — [8] ἀποκλεισθεῖσαν] Pr. l. ἀποκλεισθεῖσεως, σ superscr., comp. εως; alt. ἀποκλεισθεῖσαν comp. in comp. αν mut. — [9] εἴσοδον] Cod. in textu ἀποκλεισθεῖσαν, εἴσω not. ·/.; in ext. marg. cum ead. nota ἴσ· (sc. ἴσως) εἴσοδον a rec. m. — [10] ῥυσθῶσιν] ρυσθῶσιν, non ῥὐσθῶσιν. — [11] ῥυσθῶσιν- ἁμαρτημάτων] Cod. in textu ρυσθῶσιν not. ·/. οἱ τῶν ἁμαρτημάτων; in ext. marg. iuxta ἔνυξεν cum ead. nota οἱ τῆς αἰχμαλω-|σίας-λουσθῶ-|σῖν (trium litter. lac.) οἱ a pr. m. — [12] πλευρᾶς ἔδει] Cod. in textu πλευρᾶς not. ·/. ἔδει; in ext. marg. iuxta γοῦν, γενέσθαι, πλευρᾶς cum ead. nota ἴσ : (sc. ἴσως) λείπει. ἡ|τῆς ἀπωλείας ἡ πρόφυ|σις, ἐκ πλευρᾶς ἔδει a rec. m. Equidem inter γὰρ et ἐκ versum totum excidisse arbitror. — [13] ῥυῆναι· ἐκ] Cod. interp. ῥὐῆναι, ἐκ. — [14] πληγὴ- ἐκ] Cod. in textu πληγὴ· not. ·/. ἐκ; in ext. marg. cum ead. nota ἐκ πλευρᾶς | ἡ πηγὴ. pall. atr. a pr. m. — [15] ἀληθινὸν] Sub η f. ι. — [16] λέγει] Cod. ita.

CAPUT XIX.

Solutio de resurrectione Christi et manifestatione. (Matth. xxviii, 6, sq.; Marc. xvi, 6, sq.; Luc. xxiv, 6, sq.; Ioh. xx, 1, sq.)

Ἄγε δὲ κἀκείνην[1] σοι τὴν δοκοῦσαν οὐ καλῶς πεπράχθαι πραγματείαν ἤδη[2] διευκρινήσωμεν· τίνος[3] χάριν ὁ Σωτὴρ τὴν δυνασ|τείαν νικήσας[4] τοῦ θανάτου καὶ[5] τῇ τρίτῃ[6] μετὰ τὸ πάθος ἀνελθὼν τῶν ἀδύτων οὐκ ὀπ|άνεται[7] Πιλάτῳ[8]; Ἵνα μὴ τὸ κατόρθωμα λύσωσιν οἱ τὰ καλὰ μεμαθηκότες λύειν· ἵνα
ol. 14, v°. μήτις ὑπόνοια φαύλη παρὰ φαύλων[9] ἀνδρῶν ἀνακύψασα κλέψῃ τοῦ κυριακοῦ πάθους τὴν ἀλήθειαν· ἵνα μὴ ψεῦδος τὸ πραχθὲν οἱ εὐχερεῖς[10] νομίσωσιν[11]· ἵνα μὴ πάλιν δρακόντειον[12] ἰὸν[13] ἀποσυρίσωσιν[14] αἱ τῶν Ἰουδαίων γλῶτ|αι· ἵνα μὴ σκάνδαλον καθολικὸν γένηται[15] τῆς οἰκουμένης τὸ κατόρθωμα.

Εὐθὺς γὰρ εὐθὺς, εἰ Πιλάτῳ συνέτυχε καὶ τοῖς ἀμφ' αὐτὸν ἀξίοις, ἀνεῖπον τῇ γοητείᾳ τὸν λόγον ἀρτύσαντες[16], ὡς ἄλλον ἀντ' ἄλλου τῷ σ|ταυρῷ Πιλᾶτος ἐν παραπετάσματός τινος[17] τέχνῃ προσηλωσεν ἀπατηθεὶς ἢ καὶ δυσωπηθεὶς λιπαρῶς πρὸς αὐτὸν, ἅπερ φιλεῖ πολλάκις γίνεσθαι παρ' ὀφθαλμὸν[18] τοιαῦτα. Ὅθεν ὡς ἐκ συσκευῆς ἀνασ|τὰς αὐτῷ συντετύχηκεν ἐπ' ἐξουσίας ἐθέλων τὴν οὐ γενομένην ὡς γενομένην ἀνάσ|τασιν κηρύξαι, ἐκ δυνασ|τείας Ῥωμαϊκῆς κρατῦ-ναι[19] τῆς ἀπάτης τὸν λόγον, μηχανώμενον[20] ἐπαίχθη τὸ πρᾶγμα· δρᾶμα[21] γέγονεν ἡ σπουδή· ὁ[22] μὴ παθὼν ὡς παθὼν καὶ[23] νικήσας τὸ πάθος[24] ἔνδον τοῦ πραιτωρίου[25] σεμνῶς ἐμπεριπατεῖ· τῶν ἐπιθανατίων τις[26] ἀντ' αὐτοῦ τῷ σ|ταυρῷ παρεδόθη· σόφισμα γέγονεν ἐν τῷ δικασ|ηρίῳ[27]· τέχνῃ λεπτότητος

[1] *κἀκείνην*] Cod. *κἀκείνην*. — [2] Cod. in int. marg. iuxta *ἤδη*, *καὶ*, *ἵνα* a rec. m.: *τίνος χά-ριν ὁ|σωτὴρ ἀνασ|τὰς|οὐκ ὀπ|άνεται|πρώτῳ τῷ πι-|λάτῳ*.— [3] *διευκρινήσωμεν· τίνος*] *διευ-κρινήσωμεν·* trium litter. lac. *τίνος*. — [4] *νικήσας*] Pr. l. *νη*. — [5] *τοῦ θανάτου καὶ*] Cod. in textu *τοῦ* not. *·/.|καὶ*; in ext. marg. cum ead. nota *ἴσ·* (sc. *ἴσως*) *ἐχθροῦ ἢ θανά[του]* (alt. *α* periit) a rec. m. — [6] *τρίτῃ*] Cod. in textu *τρίτῃ* not. *·/.*; in ext. marg. cum ead. nota *ἡμέρᾳ*, a rec. m. — [7] *ὀπ|άνεται*] Pr. l. *ὀπο*. — [8] *ἀνελ-θὼν-Πιλάτῳ*] Cod. infra *ὢν τῶν ἀδύτων οὐκ ὀπ* lin.; infra *εται πιλ* lin. — [9] *φαύλων*] Sub *α* al. — [10] *εὐχερεῖς*] Pr. l. *ευχερεῖς*; alt. *ἐυχερεῖς* pall. atr. sp. — [11] *νομίσωσιν*] *νο* (non *νο-*)|*μίσωσιν*. — [12] *δρακόντειον*] Cod. *δρακόντιον*. — [13] *ἰὸν*] Sub *ο* al. — [14] *ἀποσυρίσωσιν*] *ἀπο-συρίσῳσιν*, sub pr. *σ* al. — [15] *γένηται*] Cod. *γένῃται*. — [16] *ἀρτύσαντες*] Pr. l. *ἀρτύσσ*. — [17] *παραπετάσματός τινος*] Cod. *παραπετάσμα-τος τινὸς*. — [18] *ὀφθαλμὸν*] *ὀ-|=φθαλμὸν*. — [19] *κρατύναι*] Cod. *κρατῆναι*. — [20] *μηχανώμε-νον*] Pr. l. *μηχανό*.— [21] *δρᾶμα*] Cod. *δράγμα*. Cf. pag. 34, v. 4. — [22] *ὁ*] Sub *ὁ* al. — [23] *πα-θὼν καὶ*] Cod. *ὁ – παθὼν* inter puncta. — [24] *πά-θος*] Pr. l. lig. *παρ* inch. — [25] *πραιτωρίου*] Pr. l. *πραιτο*. — [26] *ἐπιθανατίων τις*] Cod. *ἐπῖθανα-τίων τὶς*. — [27] *δικασ|ηρίῳ*] Pr. l. f. *δικασ|ηριο*.

καὶ τρόπῳ γοητείας ὁ κρατούμενος ἐλύθη· ἐδέθη[1] ἕτερος[2] τῶν καταδίκων ἀνύποπλος[3]. Καὶ νῦν Πιλᾶτος τούτῳ πρώην δικάζων σχήματι νῦν σχήματι μὲν οὐκ ἔτι τοῦτο πράττει, ἀλλὰ τὸν ὑπεύθυνον ὡς φίλον περιπλύσσεται· μέγα καινουργηθὲν τῶν προαγόντων κακῶν κατὰ τῆς Ἰουδαίας τὸ δρᾶμα
Fol. 15, r°. γεγένηται[4]· πολὺς τῆς ἀνατολῆς ὁ γενόμενος γέλως· ἀνεξάλειπτον[5] αἶσχος ἔχομεν οἱ Ἑβραῖοι ἕνα πολεμοῦντες καὶ τοῦτον οὐ νικῶντες. Βλέπετε πόσην[7] ὁ πλάνος καὶ ζῶν καὶ τέχνῃ θανὼν σκευωρίαν εἰργάσατο[8]· ἕτερον ἀνθ' ἑαυτοῦ προσπαγῆναι τῷ ξύλῳ ποιήσας κατέτρωσε, καὶ ὡς αὐτὸς ὑποσὰς τοῦ θανάτου τὸ καίριον πείθει τὸν ἡγεμόνα, καὶ τὴν τάξιν αὐτοῦ κωτίλοις φενακίζει[9] τοῖς ῥήμασιν, ὅτι γε τοῦ θανάτου φανεὶς ἐπικρατέστερος ἐκ τῶν ὑποχθονίων τριταῖος ὑπέστρεψεν. Ἐκ τούτων Πιλάτος συναρπαγεὶς τῶν[10] λόγων ἢ καὶ τῇ φιλίᾳ χαριζόμενος τὸ[11] μὴ πραχθὲν ὡς[12] πραχθὲν ἐπὶ τὸν αὐτοκράτορα πιθανῶς ἂν ἐνέγκῃ[13], κἀκεῖθεν ἐκ διατάγματος κοσμοκρατορικῆς[14] ἀρχῆς καὶ δυνάμεως πιστεύειν ἀναγκασθῶμεν τῷ[15] μυρίων[16] ἐγκλημάτων κατηγορίαν ἔχοντι, μέγα τὴν οἰκουμένην σκάνδαλον εἵληφε, πολὺ τὴν ὑπ' οὐρανὸν τὸ φάσμα δεδούλωται[17]. Ἁπάτῃ τὰς ἐξουσίας πάσας ὑπηγάγετο, ἵν' ἔχων ὑπηκόους τῶν ἀνθρώπων τοὺς προὔχοντας τοὺς ὑποκειμένους εὐχερῶς ὑποτάξειεν· ἀλογίστως ἀντλήτῳ κακῷ συνεβάλομεν· ἀφρόνως πολεμεῖν τὸν δεινὸν ἐτολμήσαμεν· ἄτακτος ἡμῖν ἡ παράταξις γέγονεν τοῦ χρήζοντος[18] εἰς παρασκευὴν
[a] Cf. Matth. XVI, 21; XVII, 22. 23; XX, 18, 19; Marc. VIII, 31; IX, 31; X, 32-34; Luc. IX, 22; XVIII, 31-33; Matth. XXVI, 2, 45; Marc. XIV, 41; Luc. IX, 44; XXIV, 7.
λειπομένη πράγματος· ἀδιόρθωτον ἡμῖν τὸ σφάλμα τοῦ πλαίσματος, δέον ἡμᾶς ὑπ' αὐτοῦ τὰ λεγόμενα κρῖναι, κἀκεῖνο[19] τὸ ῥηθὲν ὑπ' αὐτοῦ μηρυκήσασθαι[20], ὀπηνίκα τοῖς παροῦσι κομπάζων ἀπηλλάγη[21] φάσκων· [a]Ἰδοὺ παραδοθήσεται ὁ υἱὸς[22] τοῦ ἀνθρώπου εἰς χεῖρας ἀρχιερέων καὶ πρεσβυτέρων, καὶ μαστιγώσουσιν αὐτὸν, καὶ σταυρώσουσιν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Ταῦτα γὰρ ἀμάχῳ θαρσῶν καὶ πολλῇ γοητείᾳ πεποιθότως ἐφθέγγετο, εἰδὼς ὡς[23] εὐχερὲς αὐτῷ καὶ τάξιν ἀμαυρῶσαι[24], καὶ δῆμον συγκαλύψαι, καὶ δικαστὴν
Fol. 15, v°.

[1] κρατούμενος ἐλύθη· ἐδέθη] Cod. in textu κρατούμενος· not. ·/. ἐδέθη; in ext. marg. iuxta σόφισμα et γοητείας cum ead. nota ἔλυθη· pall. atr. — [2] ἕτερος] Pr. l. ἕτερος. — [3] ἀνύποπτος] Pr. l. ἀνύπ; lig. πτ inch. — [4] γεγένηται] Cod. γεγένηται. — [5] Cod. in ima fol. parte λειπτον. — [6] Cod. in summa marg. ext. ora 22 a rec. m. — [7] πόσην] Cod. in textu not. ·/ πόσϊν; in ext. marg. cum ead. nota ·/ πόσην a rec. m. — [8] εἰργάσατο· ἕτερον] Cod. εἰργάσατο; (virg. pall. atr.) ἕτερον interp. — [9] φενακίζει] Cod. φαινακίζει. — [10] τῶν] Pr. l. το. — [11] λόγων-τὸ] Cod. in textu λόγων, not. ·/. infra pos. τὸ; in ext. marg. πρόσθες.| not. ·/. ἢ καὶ τῇ φιλία (l. φιλίᾳ)|χαριζόμενος (ἦν|καὶ πρὸ τοῦ πάθους|ἐπὶ βήματος παρ=| (pr. l. =ὑπέφηνεν; alt. =υπέφηνεν (sp. lin. transf.), οὐδὲν|εὑρίσκειν ἐν αὐτῷ|φὰς ἄξιον θανάτου|μελέτιος a rec. m. — [12] ὡς] Pr. l. f. o. — [13] ἐνέγκῃ] Cod. ἐνέγκη. — [14] κοσμοκρατορικῆς] Cod. infra μοκρα hyph. — [15] τῷ] Pr. l. f. το. — [16] μυρίων] Cod. μυρίως, comp. ως. — [17] δεδούλωται] Sub alt. δ f. al. — [18] χρήζοντος] Cod. χρήζοντος. — [19] κἀκεῖνο] Cod. κἀκεῖνο. — [20] μηρυκήσασθαι] Pr. l. μι. — [21] ἀπηλλάγη] Cod. ἀπε-|λάγει. — [22] υἱὸς] Pr. l. ι. — [23] ὡς] Pr. l. f. o. — [24] ἀμαυρῶσαι] Pr. l. ἀμ-|ρῶσαι; alt. ἀμαυ- (αυ superscr.)|ρῶσαι.

πᾶῖξαι ψῆφον ἐν ἀποφάσει, καὶ πάντων περιγενέσθαι λόγῳ τέχνης ἱκανῆς μυσλικῷ μηχανήματι[1]. Ἰδοὺ[2] γοῦν ἔργοις ἔδειξεν, ὅσον τῆς γοητείας ἡ γυμνασία δεδύνηται· ἀθεραπεύτους ἐντεῦθεν πρὸς πᾶν γένος ἀνθρώπων διαβολὰς κεκτήμεθα· ἀνεξάλειπτον μῖσος διαβολῆς ἠγείραμεν ὡς κοινὸν τῆς οἰκουμένης εὐεργέτην ὑβρίσαντες, καὶ σωτῆρα γένους πάντὸς σλαυρώσαντες. Νῦν οὐκ ἀέρα τρανὸν, οὐκ ἐλευθέραν τὴν ὄψιν οὐδὲ βλέπουσαν ἔχομεν· πατέρων ἐσμὲν αἰσχύνη[3], καὶ προγόνων ὑπώπια, καὶ τῶν προπατόρων[4] σπῖλοι [καὶ] ῥυτίδες[5]. Τίς[6] ἡμῖν ἐν τοιαύτῃ κατασλάσει συμπαθὴς ὀφθήσεται; τίς[7] οἰκτειρήσας ἡμᾶς συναλγήσει τῷ πλαίσματι; ἀνατολὴ καὶ δύσις ἐπὶ τῷ γεγονότι καθ' ὑμῶν κυμαίνεται[8]· ἄρκτον καὶ μεσημβρίαν[9] ἡ φήμη τοῦ πράγματος ὀξέως κατείληφε[10]· πᾶσα τῆς οἰκουμένης ἡ ζώνη κεκλόνηται[11] μαθοῦσα ὡς ἄνθρωπος σλαυρωθεὶς καὶ θανὼν, ὡς ἐδοκοῦμεν, τριταῖος ἐγήγερται[12], οὐκ ἐν ἀπερριμμένοις καὶ ἀσήμοις χωρίοις, ἀλλ' ἐν ἀρχόντων[13] καὶ δικασλῶν αὐλῇ πανηγυρίζων[14]. Τί[15] δράσομεν τανῦν[16]; ποῦ φευξόμεθα δείλαιοι τοσούτῳ δράματι μέσῳ, φεῦ, κατειλημμένοι[17];

Διὰ τὸ[18] ταύτας τυχὸν καὶ τὰς τοιαύτας μέλλειν τῶν Ἰουδαίων γίνεσθαι φλυαρίας ἀνασλὰς ἐκ νεκρῶν οὐ συντυγχάνει[19] Πιλάτῳ, ἵνα μὴ τὸ καλῶς πραχθὲν εἰς κακουργίας κριθῇ[20] σόφισμα καὶ ἀπάτης[21]· ἀλλ' οὐδὲ τοῖς ἀξιολ. 16, r° 23. λόγοις[22] τῆς[24] Ῥωμαίων σπείρας προσέρχεται, ἵνα μὴ δόξῃ συνάρσεως ἀνθρωπίνης[25] καὶ συμμαχίας δεῖσθαι πρὸς τὸ βεβαιωθῆναι τὸν λόγον τῆς ἀνασλάσεως· ἀλλ' ἐμφανίζει γυναιξὶ μὴ δυναμέναις ἀρῆξαι[26] μηδὲ[27] πεῖσαί τινα περὶ τῆς ἀνασλάσεως, εἶθ' οὕτω τοῖς μαθηταῖς ἀδυνατοῦσι καὶ αὐτοῖς καὶ διὰ τὴν εὐτέλειαν κεκρυμμένοις ἀπὸ πολλοῦ. Ταῦθ' ἁρμοδίως ἔπρατλε καὶ πάνυ καλῶς, ἵν' οὐκ ἐκ βοηθείας κοσμοκρατόρων δυνάμεως ὁ τῆς ἀνασλάσεως κη-

[1] μηχανήματι] Pr. l. f. μει. — [2] Ἰδοὺ] Cod. ἰδοὺ an ἰδὸν. — [3] αἰσχύνη] Sub ά al. — [4] προπατόρων] sub pr. ο f. ω, an ο rescr. — [5] σπῖλοι [καὶ] ῥυτίδες] Cod. σπῖλοι| pr. l. ρυτῖδες; alt. ῥυτῖδες sp. pall. atr.; f. malis ῥυτῖδες delere. — [6] Τίς] Cod. anc. acc. — [7] τίς] Cod. τὶς. — [8] κυμαίνεται] Cod. ita. — [9] μεσημβρίαν] Pr. l. σ; alt., σ paene del. — [10] κατείληφε] Lig. τει ligaturæ το simill. — [11] κεκλόνηται] Cod. κεκλόνηται. — [12] ἐγήγερται] Cod. ἐγείερται. — [13] ἀρχόντων] Pr. l. αρχόντων; alt., pall. atr. acc. — [14] πανηγυρίζων] Sub ω al. — [15] Τί] Cod. τὶ. — [16] τανῦν] Cod. pr. l. τὰ; alt. τα νῦν pr. acc. lin. transf., infra α νῦν hyph. — [17] μέσῳ, φεῦ, κατειλημμένοι] Cod. in textu μέσῳ not. ·/. κατειλημμένοι; in ext. marg. cum ead. nota φεῦ pall. atr. — κατειλημμένοι] Pr. l. κατη; sec. κατειλημμοι; tert. κατειλημμένοι. — [18] Cod. ante et supra διὰ τὸ duas pall. atr. lin. — [19] συντυγχάνει] Cod. συντυχάνει. — [20] κριθῇ] Cod. κριθῆ. — [21] σόφισμα καὶ ἀπάτης] Cod. σόφισμα, καὶ ἀπάτη. F. malis εἰς delere. — [22] Cod. in ima fol. parte λόγοις. — [23] Cod in summa marg. ext. ora 23 a rec. m. — [24] τῆς] Cod. τοῖς pl. — [25] Cod. in ext. marg. iuxta ἀνθρωπίνης et φαινομένων adnot. novem versuum, quæ partim præ madore periit: ... τῷ τῆς | οἰκονομίας μυσλη-|ρίῳν τὸ μαρ-|=τυρούντων ἀξίω-|=μα, ἢ ἡ δύναμις | καὶ ἰσχὺς, ἢ τοῦ γέ-|=νους ἡ περιφά=| =νεια. μελέτιος. — [26] ἀρῆξαι] Pr. l. ἀρῆσ. — [27] μηδὲ] Cod. μὴδὲ.

ρυχθήσεται λόγος, ἀλλ' ἐξ ἀνδρῶν[1] εὐτελῶν καὶ μηδὲ[2] φαινομένων κατὰ σάρκα τῷ βίῳ[3] κυρωθεὶς[4] βεβαιωθῇ[5], ὅπως οὐκ ἀνθρώπινον[6] ἔσται ἀλλὰ θεῖον τὸ κήρυγμα.

[1] ἐξ ἀνδρῶν] Cod. ἐξανδρῶν. — [2] μηδὲ] Cod. μὴδὲ. — [3] βίῳ] Sub ι al. — [4] κυρωθεὶς] Sub ω f. ι. — [5] βεβαιωθῇ] Cod. βεβαιωθῆ. — [6] οὐκ ἀνθρώπινον] Pr. l. οὐκᾶνο; alt. οὐκᾶνινον, comp. Θρώπ.

CAPUT XX.

Solutio de dicto : Nunc iudicium est mundi; nunc princeps huius mundi eicietur foras. (Ioh. XII, 31.)

Τούτων[1] γοῦν ὧδε σωζομένων γνησίως, καιρός σοι κἀκεῖνο[2] δευτερῶσαι τὸ
Ioh. XII, 31. καίριον[3] ὧδ' ἐπιλεγόμενον· « [a]Νῦν κρίσις ἐστὶ τοῦ κόσμου· νῦν ὁ ἄρχων τοῦ
κόσμου τούτου βληθήσεται[4] ἔξω, » ἤ, ὡς ἔχει τινὰ τῶν ἀντιγράφων, « βληθήσε-
Ioh. XII, 32. ται κάτω[5], [b]κἀγὼ[6] ἐὰν ὑψωθῶ[7], πάντας[8] ἑλκύσω πρὸς ἐμαυτόν. » Κόσμον γὰρ
ὧδε τροπικῶς λέγει τὴν ἀνθρωπότητα, οὐ τὸν οὐρανὸν, οὐδὲ τὰ μέρη τοῦ οὐ- 5
ρανοῦ, οὐ γῆν, οὐ θάλασσαν[9], οὐ τὰ μέρη τῆς κτίσεως· οὐ γὰρ ἦρξε τούτων
ὁ λεγόμενος ἄρχων, ἀλλὰ τῶν ἀνθρώπων διὰ τὸ αὐτεξούσιον· τῶν δ' ἀψύχων
ἀμήχανον διὰ τὸ ὑπεξούσιον. Λέγει δ' οὖν ἄρχοντα οὐ τὸν δημιουργὸν, ὡς[10]
ἑτόπασαν, οὐδὲ τὸν νομοθέτην, ἀλλ' ἀρχιδαίμονά τινα[11], κακίας γεωργὸν
καὶ πονηρίας εὑρετὴν[12], ἄρχοντα τῶν εὐχερῶν ἐξ εὐχερείας[13] γενόμενον, καὶ 10
ol. 16, v°. τοὺς αὐτεξουσίους[14] τέχνῃ δουλωσάμενον[15]. Οὐκ ἐκ βίας δέ τινων[16] ἦρξεν ἢ
δυνασ1είας[17], ἀλλ' ἐκ συμβουλίας καὶ ποικίλου σοφίσματος κατέσχε τῆς λογι-
κῆς ἀγέλης, ἣν[18] κόσμον[19] ὧδε καλεῖ μεταφορικῶς· κόσμος γὰρ εἰκότως ὁ
ἄνθρωπος ἐκλήθη, κόσμος[20] τοῦ κόσμου καὶ σεμνὸν δημιούργημα, κτίσμα[21]
τίμιον ἐπὶ τιμῇ γενόμενον. 15

Τούτου τοῦ κόσμου λέγει βαλεῖν ἔξω τὸν ἄρχοντα κρίσει δικαίᾳ[22] τοὺς τυ-
Ioh. XII, 31. ραννουμένους τῆς ἀπανθρώπου τυραννίδος ἐλευθερῶν, λέγων· « [c]Νῦν κρίσις ἐσ1ὶ[23]
τοῦ κόσμου· » τουτέσ1ι[24] νῦν δικασ1ήριον ἐγὼ τοῦ καταπονουμένου τούτου κόσμου
φανήσομαι· νῦν τὸν ἄρχοντα τοῦ κόσμου τούτου βαλῶ κάτω τὸν οὐ δικαίως

[1] Cod. in ext. marg. iuxta pr. *βληθήσεται* et *τροπικῶς* a rec. m. : *εἰς τὸ νῦν κρίσις|ἐν τῷ κόσμῳ ἐσ1ὶ*, |*νῦν ὁ ἄρχων τοῦ* :. — [2] *κἀκεῖνο*] Cod. *κἀκεῖνο*. — [3] *καίριον*] Cod pr. l. *κάιρει*; alt. *κάιριον* an *κάιρειον*. — [4] *κόσμου τούτου βληθήσεται*] Cod. in textu *κόσμου* not. *·/. βληθήσεται*; in ext. marg. cum ead. nota *τούτου* pall. atr. — Pr. l. *βη*, *η* inch.; alt. *βληθήσεται*. — [5] *ἢ-κάτω*] Cod. infra *ἢ-βληθήσεται κ* duas lin.; in int. marg. iuxta *ἔξω* lin. — [6] *κἀγὼ*] Cod. *κἀγὼ*. — [7] *ὑψωθῶ*] Cod. *ὑψωθῷ*. — [8] Vulgo *πάντα* — [9] *θάλασσαν*] Sub sec. *α* al. — [10] *ὡς*] Pr. l. f. *o*. — [11] *ἀρχιδαίμονά τινα*] Cod. *ἀρχιδαίμονα τινὰ*. — [12] *εὑρετὴν*] Pr. l. *εὑρετὸν*. — [13] *ἐξ εὐχερείας*] Cod. *ἐξευχερείας*. — [14] *αὐτεξουσίους*] Pr. l. *ά*; sec. *ἀυτεξουσίας*; tert. *ἀυτεξουσίους*. — [15] *δουλωσάμενον*] Cod. *δουλοσσάμενον*. — [16] *δέ τινων*] Cod. *δὲ τινῶν*. — [17] *δυνασ1είας*] Pr. l. *δυνασ1είαν*. — [18] *ἣν*] Pr. l. *ἤν*; alt., pr. acc. lin. transf. — [19] *κόσμον*] Cod. *κόσμον* an *κόσμὸν*, alt. acc. inch. — [20] *κόσμος*] Pr. l. f. *κόσμο*. — [21] *κτίσμα*] Pr. l. f. *κτιο*. — [22] *δικαίᾳ*] Cod. pr. l. *δικαιο*, *o* superscr.; alt. *δικαία*. — [23] *ἐσ1ὶ*] Cod. *ἐσ1ὶ*. — [24] *τουτέσ1ι*] Cod. infra *υτ* hyph.

ἀλλ' ἀδίκως[1] ἄρξαντα καὶ κρατήσαντα, τὸν ὅπλῳ παρακοῆς καὶ πίστης ἀπάτης μέχρι νῦν δυνάστευοντα, τὸν ἀέριον τουτονὶ[2] καὶ πᾶσιν ἐγκρυπτόμενον, τὸν ἀφανῆ καὶ ἀσώματον, καὶ τὴν ἀσώματον ψυχὴν κατασφάξαι βουλόμενον· οὐ γὰρ καθολικὸν αὐτὸν, οὐδὲ τοῦ[3] παντὸς ἄρχοντα κέκληκα καὶ δεσπόζοντα. Ἦν γὰρ[4] δίκαιος, εἰ τοῦ παντὸς ἐκράτει· ἦν ἄμαχος, εἰ τοῖς πᾶσιν ἐπέτατ- 5
τεν[5]· ἦν ἂν[6] γνήσιος, εἰ τοῖς ὅλοις ἐκέλευεν· ἦν ἄναρχος, εἰ καθολικὴν δυνασ τείαν ἐκέκτητο. Νῦν δὲ πρόσφατος[7] ἀπὸ κακίας ἄρχων· νῦν ἀρξάμενος ἀπὸ πονηροῦ δόγματος ἄρχων οὐκ ὄχλου, ἀλλὰ τούτου τοῦ κόσμου, μᾶλλον δὲ μέρους[8] τοῦ κόσμου. Πολὺς γὰρ ὁ τοῦ[9] παντὸς κόσμος καὶ ἀνθρώποις ἀκατάληπτος· μέρος δὲ τοῦ κόσμου ληφθὲν ἐν[10] τυραννίδι λέγει τὸν κόσμον 10
Fol. 17, r°. ἅπαντα[11] πεπονθέναι. Ὡς γὰρ, μέλους[12] ἑνὸς[13] ἀλγοῦντος ἐν σώματι, ὅλον[14] ἀλγεῖν λέγομεν καὶ πάσχειν τὸν ἄνθρωπον, οὕτω μέρος τοῦ κόσμου νοσῆσαν ἁπάτῃ τὸν κόσμον ὅλον[15] διδάσκει πεπονθέναι· καὶ, ὥσπερ ἱματίου κράσπεδον ἀποπεσὸν τὸ πᾶν ἱμάτιον λέγεται κεκμηκέναι, οὕτω[16] ἀνθρώπου τῷ τῆς ἁμαρτίας κέντρῳ κατανυγέντος[17], λέγει τὸν κόσμον τετρῶσθαι καὶ συν- 15
αλγεῖν.

Ἐπεὶ κόσμον εἴ[18] τις τὸν καθολικὸν λέγει, πολλοὺς[19] μὲν ἐξαναλώσει χρόνους[20], καὶ τὸ πᾶν εἰπεῖν νομίζων τοῦ πράγματος ἀρχὴν οὐδέπω τοῦ

[1] ἀλλ' ἀδίκως] Pr. l. ἀλλὰ. — [2] τουτονὶ] Cod. infra υτ hyph. — [3] τοῦ] Lig. ῦ inch., necnon separat. acc. — [4] γὰρ] Pr. l. ου comp.; alt., comp. paene deleto. — [5] ἐπέτατ|εν] Cod. pr. l. ἐπέ-|alt. ἐπέτ-|τατεν. — [6] ἦν ἂν γνήσιος] Malim delere ἂν : cf. ἦν γὰρ δίκαιος, ἦν ἄμαχος, ἦν ἄναρχος. — [7] πρόσφατος] Pr. l. τ. — [8] μέρους] Pr. l. μέρος. — [9] γὰρ ὁ τοῦ] Cod. in textu γὰρ not. ·/. τοῦ; in ext. marg. cum ead. nota ὁ pall. atr. — [10] ἐν] Lig. litt. α simill. — [11] ἅπαντα] Cod. infra μέρος et supra ἅπαντα not. ·/.; in ext. marg. iuxta καὶ et νίδι voc. τυραν-|νίδι et in ima fol. parte : πρόσθες.|πάντα μὲν οὖν, |εἰ κόσμον (ὡς εἰκὸς)|τὴν ἀνθρωπίνην φύσιν ἐνόησας. τοῦ γὰρ ἀνθρωπείου παντὸς γένους|ἐκράτει. πρὸς τοῖς ἰδίοις ἑκάστου ἁμαρτήμασι, ταῖς γε τῆς|προπατορικῆς παραβάσεως ἐνοχαῖς πάντας ἔχων ὑπευθύνους.|-μελέτιος.- a rec. m. — [12] μέλους] Pr. l. μέρ; alt. μέλους, in lig. μερ ima litt. ρ parte exp. — [13] Cod. in ima fol. parte ἀλγοῦντος. — [14] σώματι, ὅλον] Pr. l. σώματι, τὸν κόμον; sec. σώματι, τὸν κόσμον; tert. σώματι, ὅλον, vocibus τὸν κόσμον lin. transf. — [15] ὅλον] Cod. ὅλου an ὅλον. — [16] οὕτω] Pr. l. οὔτο; sec. οὕτο rescr. ο; tert. οὕτω. — [17] κατανυγέντος] Pr. l. καταγν; alt. , γ lin. transf. et infra hyph. — [18] Ἐπεὶ κόσμον εἴ] Cod. in textu ἐπεὶ not. ·/. εἴ; in ext. marg. cum ead. nota κόσμον pall. atr. — [19] λέγει· πολλοὺς] Cod. in textu λέγει· not. ·/. πολλοὺς; in ext. marg. iuxta οὐ voc. οὐδέπω et ἄλεκτον : ἀκρὰ καὶ ἡ κτίσις|πάσα (corr. in πᾶσα) συσλενάζει|καραδοκοῦσα τὴν|ἀπολύτρωσιν τῶν|υἱῶν τοῦ Θεοῦ. ἵνα|καὶ αὐτὴ συνελευθε (ita)|-ρωθῇ (l. συνελευθερωθῇ) τῆς δουλείας|τῆς φθορᾶς (κῆς postea τῆς φθορᾶς ab hod. m. rescr.) οὗ (ου ab hod. m. rescr.; l. ἧς)| συμμετέχει (ab hod. m. rescr.) τοῖς|ἁμαρτήμασι (postea ἁμαρτήσας ab hod. m.)· τούτων|δ' ἁπάντων τῆς|(ὡς ἔπος εἰπεῖν) (ὡς ἔπος εἰπεῖν ab hod. m. rescr.)|ἀρχης (corr. in ἀρχῆς), ἐπικρατείας|τυραννίδος γυμ-|-νουται (corr. in γυμνοῦται) ὁ κακῶς|ἄρξας· ὅθεν ἐκβάλ (ita, non ἐκβάλ-)|λεται τοῦ κόσμου·|-μελέτιος.- a rec. m. — [20] χρόνους] Cod. in textu pr. l. λόγους; sec. χρόγους a pr. m.; tert. χρόνους, γ mut. in ν pall. atr.; in int. marg. χρόνους a pr. m., nota ·/. utrinque om. — Cod. in int. marg. iuxta χρόνους et δέπω voc. οὐ|δέπω lin. et crucem.

παντὸς ἀφηγήσεται. Τί[1] γὰρ δεόντως τοῦ κόσμου καταλέξει κατὰ ἀλήθειαν οὐδὲ τῶν φαινομένων τὸν λόγον τῆς φύσεως ἀκριβῶς ἀποδιδούς; οὐ γῆν, οὐ θάλατταν ἐρεῖ κατ' ἀλήθειαν· οὐ κρήνας, οὐ ποταμοὺς, ὡς ἔχουσι φύσεως τὸ πᾶν, συνείσεται. Εἰ δὲ[2] ταῦτά τις[3] λέγων οὐ λέγει σαφέστερον, πῶς τὰ[4] τούτων ἐπέκεινα λέγων ἀληθεύσειε; πῶς ἀέρα λεπτὸν, πνευμάτων ζώντων εὐρὺν καὶ πλατύτατον κόλπον, οὐρανοῦ καὶ γῆς μεταξὺ κατεχόμενον, ἀγγεῖον ὥσπερ μυρίων σωμάτων χωρητικὸν, ἢ τὸν ὑπερκείμενον λεπτότατον αἰθέρα τὸν[5] ἐκ πυρίνων φωστήρων ἀδιαστάτως[6] αἰθόμενον, ἢ τὸν[7] ἀνωτέρω τούτων ἐπηρτημένον[8] οὐρανὸν, ἢ τὴν περιφέρειαν τῆς ἐγκυκλίου ἀψῖδος[9], καὶ τὴν πολύμορφον τῶν ἄστρων διαδοχίαν[10] καὶ ἀστραπὴν, καὶ τὴν ἀθέατον τῆς οἰκουμένης ζώνην, καὶ τὴν συνοχὴν τῆς ζώνης τὴν ἄφραστον, ἢ τούτων τὰ προὔχοντα τὰ τὴν ἀόρατον λαχόντα χώραν[11] καὶ διαγωγὴν, οἷον ἀνάριθμον
17, v°. Θρόνων ἀξίαν, καὶ ἄλεκτον Κυριοτήτων τάξιν, καὶ[12] κῦδος ἀδιήγητον Ἐξουσιῶν, τὸ πολὺ καὶ δυσερμήνευτον[13] πλῆθος [καὶ] βρῖθος[14], ἢ τῶν λεγομένων Πρωτοτόκων[15] τὸν ὅμιλον[16], ἢ τῶν Σεραφὶμ[17] τὴν λειτουργίαν τὴν ζέουσαν, ἢ τῶν χερουβικῶν[18] ἁρμάτων τὴν διφρείαν[19]; Ταῦτα γὰρ πάντα κόσμος ἐν διαφόροις σωμάτων οὐσίαις νοούμενος, ταῦτα συμπληρωτικὰ τοῦ τε[20] καθολικοῦ καὶ ἀοράτου κόσμου.

Μέρος δὲ κόσμου τὴν ἀνθρωπείαν[21] φύσιν ὧδε διαλαλεῖ. Φιλεῖ γὰρ ἡ θεία[22] παίδευσις καὶ συνήθεια ἐκ μέρους τὸ πᾶν καὶ [ἐκ] τοῦ[23] παντὸς τὸ μέρος ὀνο-
Gal. xi, 14. μάζειν καὶ λέγειν, ὥσπερ ὅταν λέγῃ τις[24] Φιλοσοφῶν ἐν βίῳ· « Ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ[25] τῷ[26] κόσμῳ, » οὐ τὸν οὐρανὸν ὧδε ἢ τὴν γῆν ἢ τὴν θάλασσαν (ταῦτα γὰρ κόσμος καὶ μέρη κόσμου καθέστηκεν), ἐσταυρῶσθαι λέγει (ἀπαίδευτον γὰρ τοῦτο), ἀλλὰ τὴν σωματικὴν καθηλῶσθαι κακίαν, καὶ μὴ ζῆν[27] αὐτῷ τὴν σαρκικὴν ἀξίαν μηδ'[28] αὐτὸν[29] εἶναι καὶ ζῆν τοῖς σαρκικοῖς[30]

[1] Τί] Cod. anc. acc. — [2] δὲ] Sub *e* al. — [3] ταῦτά τις] Cod. ταῦτα τις. — [4] πῶς τά] Pr. l. πῶσ; alt. πῶστὰ, minimo *s* ins. — [5] τὸν] Cod. τῶν. Cf. infra not. 7. — [6] ἀδιαστάτως] Pr. l. ἀδισία; alt. ἀδιαστάτως, sec. α superscr., post tert. α al. lin. transf. — [7] τὸν] Cod. τῶν. Cf. supra not. 5. — [8] ἐπηρτημένον] Cod. ἐπηρτημένον. — [9] ἀψῖδος] Priorem lectionem ἀψί. — [10] διαδοχίαν] Cod. διαδουχίαν. — [11] χώραν] Priorem lectionem χό. — [12] τάξιν, καὶ] Cod. inter τάξιν et καὶ voces : καὶ κύδος (sic) ἀνάριθμον Θρόνων ἀξίαν καὶ ἄλεκ.τον (in ἄλεκ.τον punct. notæ hyph. simile), quas delendas esse significavit punctis ante infra necnon post pos. — [13] δυσερμήνευτον] Cod. δυσσερμήνευτον, lig. σσ. — [14] πλῆθος [καὶ] βρῖθος] Cod. πλῆθος βρίθος (ita acc.). F. malis βρίθος delere. — [15] Πρωτοτόκων] Pr. l. f. προ. — [16] ὅμιλον] Pr. lectionem ὅμη; alt. ὅμῖλον. — [17] Σεραφὶμ] Pr. l. σεραβ, inch. β. — [18] χερουβικῶν] Pr. l. κ an γ inch. — [19] διφρείαν] Cod. διφρίαν. — [20] τοῦ τε] τοῦ, τε. — [21] ἀνθρωπείαν] Cod. ἀνθρωπεῖαν, comp. θρωπ. — [22] θεία] Cod. θεῖα. — [23] καὶ [ἐκ] τοῦ] Cod. καὶ (καὶ comp.) τοῦ. Cf. supra : ἐκ μέρους. — [24] λέγῃ τις] Cod. λέγει τὶς. — [25] κἀγὼ] Cod. κἀγὼ. — [26] τῷ] Pr. l. το. — [27] ζῆν] Cod. ζῆν. — [28] μηδ'] Cod. μὴ δ'. — [29] αὐτὸν] Cod. ἀυτὸ. — [30] σαρκικοῖς] Priorem lectionem σαρκικι.

φρονήμασιν, ἀλλ'[1] ἐσ|αυρῶσθαι δ' αὐτὸν ἐκ τοῦ μὴ ζῆν[2] [ἐν] δόγματι[3] κοσμικῷ καὶ φρονήματι, ἐκ τοῦ μὴ ζῆν αὐτὸν ἐν σαρκικῷ κανόνι, μηδ'[4] αὐτὰ[5] τῆς σαρκὸς ἐν αὐτῷ τρυφᾶν[6] πολιτεύματα. Εἴ γε οὖν κόσμος τὸ τῆς σαρκὸς[7] ὀνομάζεται[8] νόμιμον, καὶ τοῦτο εἰ Παῦλος κακοπαθῶν ἐσ|ταύρωκεν[9], εἰκότως καὶ τὸ τῶν ἀνθρώπων φῦλον[10] καὶ γένος ἅπαν ἀτάκτοις ὁρμαῖς ὧδε κἀκεῖ[11] φερό- 5
μενον κόσμον ὁ Σωτὴρ ἐνδίκως ἐκάλεσεν, ὃν κριθῆναι[12], τοῦ σ|ταυροῦ παγέν-
Quat. IV. τος, ἐθέσπισε, καὶ τὸν ἄρχοντα τούτου διὰ τὴν[13] ἁμαρτίαν[14] ἔξω βάλλειν
Fol. 18, r°. προλέγει, καὶ τοῦ κράτους αὐτὸν καταβάλλειν[15] ἀπειλεῖ· ὅσ|ις[16] ποτ'[17] ἄρ-
χων οὗτος ὑποσπείρων ἡδονὰς καὶ κῶμον καὶ μέθην ἔκτοπον καὶ παράλογον· 10
τῆς γὰρ ἀνθρωπότητος τὸ τῆς πλάνης αὐτοῦ φερούσης ἐπίταγμα, ἀνάγκη τοῦ-
τον ἄρχειν πρὸς οἰκεῖον[18] θέλημα τοὺς πειθομένους ἄγοντα. Χρισ|τὸς[19] δὲ
τοὺς ἐν κακίᾳ χειρουμένους τοῦ δαίμονος καὶ καταπονουμένους διεκδικῆσαι[20]
θέλων φάσκει· « [a]Νῦν[21] κρίσις ἐσ|τὶ[22] τοῦ κόσμου. Νῦν ὁ ἄρχων τοῦ κόσμου τού-
*Ioh. XII, 31, 32. τον βληθήσεται κάτω[23], κἀγὼ[24] ἂν ὑψωθῶ[25], πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » 15
Τῇ γὰρ σειρᾷ τοῦ σώματος ἐκδικήσας τὸ συγγενὲς, καὶ καθὸ ἄνθρωπος τὴν
ἀνθρωπείαν[26] οὐσίαν συμπλέξας θεότητι καθάπερ ἐκ μεγάλου καὶ βαθυτάτου
βυθοῦ τῆς ὧδε πολυμόχθου ζωῆς καὶ πικρᾶς ἀνέσπασεν ὑψωθεὶς εἰς μεταρ-
σίους[27] μονάς· ὡς γὰρ ἔκ τινος κάλου τοῦ σωτηρίου σώματος ἡ κάτω κειμένη
τῶν ἀνθρώπων ἀγέλη δεθεῖσα συνανῆλθεν εἰς οὐρανίους μονάς.

Τὸ οὖν βληθῆναι κάτω τοῦ κόσμου τὸν ἄρχοντα οὐδὲν ἕτερόν ἐσ|τιν[28] ἢ τῆς 20

[1] Cod. in ext. marg. iuxta *Τίνος* : *εἰς πὸ ᾱ°ν* (sc. *πρῶτον*; subaudi *ζήτημα*) *λύσις* a rec. m. — *Τίνος*] F. *ι* rescr. — [2] *μεμυκότι*] Pr. l. *μεμυκόκότι*; alt., pr. *κο* lin. transf. — [3] *βλέμματι*] superscr. *τι*. — [4] *κενώσειε*] Cod. *κενώσει*. — [5] Cod. in ima fol. parte *σειε τὸν*. — [6] *πρὸ*] Sub *ρ* al. — [7] *πολλοῦ*] Pr. l. *που*. — [8] *νῶτόν μου*] Cod. *νῶτον μου*. — [9] *ῥαπίσματα*] Ita, non *ῥάπῖσματα*. — [10] *ἔστιν*] Cod. *ἐστὶν*. — [11] *εἰρημένα*] Rescr. *ρ*. — [12] *γοῦν, -τῷ*] Cod. *γοῦν* (*ὡς αὐτὸς λέγεις*) *τῷ*. — [13] *καινοτέρᾳ*] Cod. *καινοτέρα*. — [14] *ἐξαίσιον*] In textu pr. l. *ἐξαιδέτι*; alt. not. *·/.* supra *αι* pos.; in ext. marg. cum ead. nota *σιον* pall. atr. — [15] *πᾶσαν*] Comp. in quo supra lin. deest circumfl. acc. — [16] *ἀοιδίμων*] Cod. *ἀοιδήμων*. — [17] *τοῦ*] Pr. l. *τους* pl. — [18] *θεῖα*] Cod. *θεία*. — [19] *πᾶσαν*] In comp. deest linea.

ἀπωθήσατο ἐκ μετεώρου Φάσματος τὴν οἰκονομίαν[1] τελέσας τοῦ Θανάτου, τῇ τῶν Φόβων ἀνάγκῃ τὰ πάντα δουλούμενος, ἐπισκυνίῳ[2] Φρικώδει τοὺς παρόντας συνέχων.

26, v°. Εἰ γὰρ καθὸ Θεὸς λόγῳ μὲν πέτραν ἔσεισε[3], λόγῳ δ'[4] ἐσάλευσεν οἴκημα, λόγῳ δ' ἀέρα παχὺν ἀπεγέννησε[5], λόγῳ δὲ Θηρίων Θυμοὺς ἐπεσ|πράτευσε, βίᾳ τὸν ἡγεμόνα[6] καὶ τοὺς ἀρχιερέας[7] ὑποτάτ|των ἠδίκει[8], βίᾳ δὲ καὶ τὸ καλὸν καταδέχεσθαι ποιῶν ἐπλημμέλει[9] τὸ δίκαιον, ὕποπ|τος δὲ κἀν[10] τούτῳ ὡς ἐκ γοητείας[11] καινουργῶν τὰ παράδοξα, καὶ ὡς εἷς τῶν λεγομένων γοργείων[12] ἐδικάζετο, εἰ τέρασιν ἐξαισίοις Πιλᾶτον ἐπλόησεν, εἰ[13] σημείοις τοὺς ἱερεῖς καινοτέροις ἐφόβησεν, εἰ Φασμάτων ὄψεσι τὸ τῶν Ἰουδαίων ἔθνος ὑπηγάγετο[14], ἐντεῦθεν[15] ἐπολέμει[16] τὸ ψεῦδος τὴν ἀλήθειαν[17]· ἐντεῦθεν καὶ τὰ πραχθέντα[18] πρὸς αὐτοῦ Θαυμάσια[19] Φαύλην τοῖς ἀνθρώποις εἰσῆγεν ὑπόνοιαν, ὡς οὐ κατὰ κρίσιν τῶν ἔργων γενομένων ἀλλὰ σκιᾷ καὶ δοκήσει ψευδεῖ[20]· ἐντεῦθεν τὸ καλῶς καὶ πάλαι γενόμενον κἂν ἐν γῇ κἂν ἐν Θαλάττῃ κἂν ἐν πόλει κἂν ἐν ἀγρῷ τὸ πᾶν διεβάλλετο[21] ὄναρ οὐχ ὕπαρ νομισθὲν καὶ κρινόμενον· ἐντεῦθεν

Cf. Ier. xi, ἡ πρόγνωσις τῶν ἀρχαίων ἀπλήρωτος· ἐντεῦθεν Ἱερεμίας [a]ἀρνίον αὐτὸν[22] ἄκακον ἀγόμενον ὡς[23] Θῦμα ὀνομάζων ἐσφάλλετο, καὶ αὖθις Θεὸν ἐν ἀνθρώποις λόγον ἀναγραφόμενον μεγάλως ἐψεύδετο· οὐ γὰρ ἐν ἀνθρώποις ὁ ξένα τῶν ἀνθρώπων ποιῶν ἀνασ|τρέφεται, ἀλλ' ἀφωρισμένην[24] ἔχει περιωπὴν ἰδίως·

[1] οἰκονομίαν] In textu pr. l. οἰκουμένην; alt. not. ·/. supra pos., infra κ tria puncta, infra comp. μεν tria puncta, in ext. marg. iuxta ἀπω- voc. ἄπω-|θήσατο cum ead. nota οἰκονομίαν a pr. m. — [2] ἐπισκυνίῳ] Cod. ἐπϊσκηνίῳ; infra σκηνίῳ lin. necnon et in ext. marg. iuxta φρι- voc. φρι-|κώδει lin. — [3] ἔσεισε] Cod. ἐσεισε. — [4] δ'] Pr. l. comp. δὲ inch. — [5] ἀπεγέννησε] Pr. l. ἀπέχε; alt. ἀπε (acc. lin. transf.; χε lin. transf.) γέννησε. — [6] ἡγεμόνα] Pr. l. ἡγεμόνος pl. — [7] ἀρχιερέας] ἀρχι-|=ερέας. — [8] ἠδίκει] Sub lig. ει f. η. — [9] ἐπλημμέλει] Pr. l. ἐπλημέλη; alt. ἐπλημμέλει, μ supra μ scr. — [10] κἀν] Cod. κἂν. — [11] γοητείας] F. ι sub γ. — [12] γοργείων] Cod. γορτείων. — [13] εἰ] Pr. l. εἰς; alt. εἰσημείοις, s mut. in σ. — [14] ὑπηγάγετο] Pr. l. ὑπηγάγη. Cod. infra lin. — [15] ἐντεῦθεν] ἐν, non ἐν-|τεῦθεν. — [16] ἐπολέμει] In textu pr. l. ἐπεθύμει; alt. ἐπολέμει; in ext. marg. iuxta σεν voc. ἐφόβη-|σεν et τεῦθεν voc. ἐν|τεῦθεν sine nota ἐπολέμει a pr. m. — [17] ἀλήθειαν] Cod. αλήθειαν. — [18] πραχθέντα] Pr. l. πραγ. — [19] Θαυμάσια] Pr. l. Θαύμασϊ; alt., α superscr. pall. at. — [20] ψευδεῖ] Cod. ψευδῆ; interp. δοκήσει, ψευδῆ. — [21] διεβάλλετο] Pr. l. διεβάλε. — [22] αὐτὸν] F. pr. l. ά. — [23] Cod. in ext. marg. iuxta ὡς necnon et in ima fol. parte : οὐ διὰ τοῦτο δὲ μόνον|ὁ κς (sc. κύριος) οὐ λόγους Θείους ἐφθέγξατο, οὐ Θαύματα ἐποίησε|παρασ|τὰς τῷ Πιλάτῳ| ἀλλ' (?) ὅτ· (?) (sub ἀλλ' ὅτι vocem lin. transf.) εἰ μὲν τοιαῦτα|ἔδρασεν ὁ κς (sc. κύριος) ὡς ἔφην|κἀκεῖνοι (l. κἀκεῖνοι) μὴ ἐπίσ|τευσαν|μεῖζον ἂν αὐτοῖς τὸ κρί- (l. κρῖ-)|μα εἰργάσατο· τὸ δὲ δι' ὀλίγων μάτην ἂν διὰ πολλῶν γίγνοιτο· διὰ τοῦτο γὰρ καὶ ἐν παραβο-|λαῖς (αὐτοῖς paene exp.) πρότερον τοῖς Ἰουδαίοις ἐλάλει οὐκ ἐθελοκάκων, ἀλλ' (pr. l. ἄλλα) ἵνα μὴ αὐτοῖς μείζονα τὴν|ἁμαρτίαν ἐργάσηται (f. pr. l. ἐργάσητο)· καὶ μὴν ὦ ἀντίπαλε τῆς ἀληθείας (in fine voc. al. correctum) τί ἐβούλετο τὸ τὰς|πέτρας σχίζεσθαι, τὸ τὰ μνημεῖα ἀνοιγεσθαι (l. ἀνοίγεσθαι), τὸ... μικρὰ ταῦτα Θαύματα; ἀλλ' οὐκ ἐ... σαι τοὺς λιθοκαρδίους. μακάριος. a rec. m. — [24] ἀφωρισμένην] Pr. l. ἀφο.

[a] Ps. LXVIII, 22. Cf. Matth. XXVII, 34, 48; Marc. XV, 36; Luc. XXIII, 36; Ioh. XIX, 29, 30.

ἐντεῦθεν ἄλλος ἐκ προσώπου λέγων τοῦ Μονογενοῦς· «[a] Ἔδωκαν[1] εἰς τὸ βρῶμά μου[2] χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν[3] με ὄξος,» πάμπαν ἀπεψεύδετο.

Τίς γὰρ ἐτόλμησε πληγεὶς[4] ἀσπραπῇ ἐπιφοιτήσεως[5] ὄξος εὐτρεπίσαι καὶ προσκομίσαι χολήν; τίς οὐκ ἐτρόμασεν[6] αὐτὸν[7] θεασάμενος[8] αὐσηρὸν καὶ ἐπίφοβον καὶ μετὰ τοῦ λόγου φρικῶδες ἐμβλέποντα, καὶ πῇ μὲν λαλοῦντα καὶ παραυτὰ κρυπλόμενον, πῇ δ' ἐξαίφνης[9] ὁρώμενον καὶ αὖθις ἀόρατον; τίς[10], εἰπέ μοι, πρόσωπον τερασλίων ἔμπλεων ἰδὼν οὐχ ὑπεσλάλη; τίς[11] σλαυρὸν ἢ ξύλον ἢ κέντρον ἢ περόνας[12] ὀξεῖς[13] ἀπεχάλκευσε; τίς[14] δὲ τὸν ἀκράτητον κρατεῖν ἀπετόλμησεν; τίς[15] ὡς ἄνθρωπον κρατεῖν τὸν ὑπὲρ ἄνθρωπον λαλοῦντα καὶ ποιοῦντα[16]; Εἰ δὲ μήτε ξύλον ἐπάγη κατὰ τῆς γῆς, μήτε τις[17] ἥλος ὠξύνθη[18] κεφαλαῖος[19], οὔτε τὸ διὰ ξύλου πάθος ἐκαθαίρετο, οὐδὲ τῇ κακίᾳ πεπαρμένος ὑγίαινεν, οὐδ' Ἀββακοὺμ [b] ἔχειν[20] αὐτὸν ἐν χερσὶ λέγων κέρατα, τουτέσλι[21] τοὺς ἥλους τοῦ σλαυροῦ ἢ τὰς κεραίας αὐτοῦ, σαφῶς τι προεμήνυεν, οὔτε Μωσῆς[22] [c] ζωὴν αὐτὸν κρεμασθεῖσαν[23] πρὸ πολλοῦ[24] διηγούμενος ἂν ἦν[25] ἀξιόπισλος, ἀλλὰ πάντα ψευδῆ καὶ μέχρι λόγου τὴν ἀληθειαν ἔχοντα, τῶν ἔργων τῆς εὐσεβείας πρὸ πολλοῦ κείμενα, καὶ θέμις ἄλλον ζητεῖν καὶ προσδοκᾶν[26] Ἰησοῦν[27]· ὁ γὰρ ἐν ταῖς βίβλοις προκηρυχθεὶς[28] οὐκ ἦλθεν, ἐπεὶ μὴ, καθὼς εἶπον, τὸν τρόπον ἀπέσωσεν[29], ἀλλὰ ξένῳ θεάματι παρὼν ἐνηνθρώπησεν. Εἰ γὰρ, ὡς[30] Ἀπολλώνιος[31], γοητείᾳ τέχνης ἔπαιξεν τῷ βίῳ, καὶ λαλῶν αὐτοκράτορι[32] ἐν αὐτοῖς που μέσοις τοῖς βασιλείοις σεμνῶς, ἐν ταὐτῷ[33] κηπωροῖς ἔσκαλλε τὰ κηπεύσιμα[34], ὄντως[35] ἂν[36] κόσμος ἐν δίκῃ πεπλάνητο, καὶ κτίσις ὅλη τὸν τῆς ἀπάτης ζόφον περιεβέβλητο φιλόσοφον γόητα τυφλῶς θεραπεύουσα συναρπάσαι[37] τῇ κακίᾳ τὸ σῶμα δυνάμενον, καὶ τῷ[38] φάσματι καλύψαι τὸν τῆς εὐσεβείας τίτλον[39]· οὐκέτι[40] γοῦν Θεὸς

[b] Cf. Hab. III, 4.

[c] Cf. Deut. XXVIII, 66.

Fol. 27. r°.

Fol. 27. v°.

[1] ἔδωκαν] Pr. l. ἔδωκεν. — [2] βρῶμά μου] Cod. βρῶμαμου. — [3] ἐπότισάν] Sub ι al. — [4] Cod. in ima fol. parte ἀσπρατλῇ. — [5] ἐπιφοιτήσεως] Cod. επιφοιτήσεως. — [6] ἐτρόμασεν] Cod. ετρόμασεν. — [7] αὐτὸν] Pr. l. αὐτὸς. — [8] θεασάμενος] Sub virg. post voc. al. — [9] ἐξαίφνης] Pr. l. αι. — [10] τίς] Cod. anc. acc. — [11] τίς] Cod. τὶς. — [12] περόνας] Cod. πέρονας. — [13] ὀξεῖς] Cod. ὀξεῖς. — [14] τίς] Cod. anc. acc. — [15] τίς] Cod. τὶς. — [16] ποιοῦντα] Comp. ουν. — [17] μήτε τις] Cod. μήτε αν μητε τὶς αν τίς. — [18] ὠξύνθη] Pr. l. ὀ. — [19] κεφαλαῖος] Cod. κεφάλαιος; sub α lig. αι f. ο. — [20] Cod. in int. marg. iuxta ἔχειν lin., necnon et in ext. marg. iuxta σλαυροῦ eiusd. vers. lin. — [21] τουτέσλι] Ita, sine hyph. — [22] Μωσῆς] Cod. Μωϋσῆς. — [23] Cod. in int. marg. iuxta κρεμασθεῖσαν lin. sub ρ al. — [24] πρὸ πολλοῦ] Cod. προπολλοῦ. — [25] ἦν] Pr. l. ἦν. — [26] προσδοκᾶν] Cod. προσδοκᾶν. — [27] Ἰησοῦν] ιησοῦν pl. — [28] προκηρυχθεὶς] Pr. l. προκυ. — [29] Cod. in int. marg. iuxta ἀπέσωσεν lin. — ἀπέσωσεν] Pr. l. ἀπέπ. — [30] ὡς] Pr. l. ο. — [31] Ἀπολλώνιος] Sub ν al. — [32] Cod. in ext. marg. iuxta αὐτοκρά- voc. αὐτοκρά-|τορι lin. et supra ἀπολλωνιος male scr. a rec. m. — [33] ταὐτῷ] Cod. ταυτῷ. — [34] κηπεύσιμα] Pr. l. η. — [35] ὄντως] Pr. l. ὄντο. — [36] ἂν] Cod. ἄν. — [37] συναρπάσαι] Cod. συναρπᾶσαι. — [38] τῷ] Cod. τὸ. — [39] Cod. post τίτλον· duar. litter. lac. — [40] οὐκέτι] Cod. in textu pr. l. οὐκέσλι; alt., not. ·/.; in ext. marg. iuxta τυφλῶς cum ead. nota οὐκέτι pall. atr.

οὐδὲ Θεοῦ παῖς ταῦτα ποιῶν ἐκρίθη, ἀλλ' εἷς τῶν περιέργων καὶ σοφιστῶν ἐν βίῳ[1].

Ἵνα μηδὲν τοιοῦτον ἐπικωμάσῃ[2] σκάνδαλον τῷ σωτηρίῳ πάθει, μηδὲ[3] γοητείας νόμος ἐν ὑπονοίᾳ ληφθεὶς τὸ[4] τῆς οἰκονομίας κηλιδώσῃ[5] μυστήριον, ἠνέσχετο μὲν καθὸ ἄνθρωπος τὰ τῆς ὕβρεως ὑποστῆναι μηδὲν αἰσχυνόμενος[6]· ἀπαθῆ γὰρ ἔνοικον εἶχε, καὶ τὸν τῆς αἰσχύνης λόγον οὐκ ἐδέχετο[7]. Ὡς γὰρ σκεῦος ἔνδοθεν πεπληρωμένον πυρὸς τὴν ἔξωθεν[8] οὐ δέχεται προσαγομένην ψυχρότητα, ἀλλ' ἀπωθεῖται[9] ταύτην ἔνδον θερμαινόμενον, οὕτως ὁ Ἰησοῦς ἔνοικον ἔχων[10] Θεὸν, θεῖον καὶ ἀνάλωτον πῦρ καὶ ἀδαπάνητον[11], τὴν ψυχρότητα[12] τῶν ὕβρεων εἰς οὐδὲν[13] ἐλογίζετο, καὶ τοὺς ὀνειδισμοὺς ὁρῶν οὐ διετρέπετο[14]. Ὥσπερ γὰρ ἡλιξ[15] ἱκανοὺς[16] παιδίων εἰς αὐτὸν χεομένους γέλωτας ὁρῶν οὐκ αἰσχύνεται, οὕτως ὁ Χριστὸς τὰς Ἰουδαίων χλεύας ἀπετρέπετο[17], ὡς οὐκ ἀνδρῶν ἀλλὰ νηπίων ἐπ' αὐτὸν ἐρχομένας· καὶ καθάπερ[18] πέτρα μυρίων ἑρπετῶν δεχομένη σύρματα[19] οὐκ ἴχνος[20], οὐ τρίβον, οὐδὲ[21] τύπον λαμβάνει φυσικῇ στερρότητι βασταζουσα[22] κινώπετα[23], καὶ μηδεμίαν[24] πρὸς αὐτῶν ἀμυχὴν λαμβάνουσα, οὕτως ὁ Ἰησοῦς[25], δίκην ἑρπετῶν[26] τῆς Ἰουδαϊκῆς ἐπ' αὐτὸν σπείρας[27] ὁρμησάσης[28], τρόπον[29] πέτρας[30] στερρῶς ἀλώβητος ἔμεινε
l. 28, r°. μηδεμίαν[31] αἰσχύνην ὡς ἐν τύπῳ[32] δεξάμενος[33]. Ἄλλως δὲ καὶ πρὸ τοῦ πάθους ἐπισχεῖν τὰς ἐνθέους ἐχρῆν αὐτὸν δυνάμεις[34], ἵνα μετὰ τὸ πάθος ἢ καὶ ἐν αὐτῷ τῷ πάθει ῥήξας τὸν ᾅδην[35], καὶ τὴν γῆν διατεμὼν, καὶ σωμάτων ἐμψύχων ἀνασπήσας ὅμιλον, καὶ τῶν κατοιχομένων δείξας τὴν συνοδίαν δείξῃ[36] τίς[37]

[1] Cod. in ext. marg. iuxta βίῳ lin. — [2] ἐπικωμάσῃ] Cod. ἐπϊκωμάσει. — [3] μηδὲ] Cod. μηδὲ. — [4] τὸ] Pr. l. τη (η inch.); sec. το; tert. τὸ, acc. pall. atr. — [5] κηλιδώσῃ] Cod. pr. l. κηλη; alt. κηλιδώση. — [6] αἰσχυνόμενος] F. sub α al. — [7] ἐδέχετο] Supra χ lig. χε punct. — [8] ἔξωθεν] Pr. l. ἔξοθεν; alt , ο mut. in ω hod. atr. — [9] ἀπωθεῖται] Cod. ἀποθεῖται. — [10] ἔνοικον ἔχων] Pr. l. ἔνοιχ; alt., κον et ε superscr. [11] ἀδαπάνητον] Cod. ἀδάπάνητον, duob. acc. scr. — [12] ψυχρότητα] Pr. l. ψχ; alt., υ superscr. — [13] ὕβρεων οὐδὲν] Pr. l. ὕβρεων οὐδὲν; alt., εἰς superscr. — [14] οὐ διετρέπετο] Cod. in textu pr. l. οὐκ ἐτρέπετο; alt., notam ·/. supra κ; in ext. marg. cum ead. nota διε. — [15] ἥλιξ] Cod. ἥλιξ. — [16] ἱκανοὺς] Pr. l. ἱκανὸς. — [17] χλευὰς οὐκ ἀπετρέπετο] Cod. χλεύας ἀπε-|τρέπετο. — [18] καθάπερ] καθά-|περ, sub alt. α al. — Cod. in ext. marg. iuxta περ voc. καθά-|περ duas lin. — [19] Cod. infra ατα lin. — [20] οὐκ ἴχνος] F. pr. l. οὐ ἴχνος; alt. οὐκἴχνος, κ ins. — [21] οὐδὲ] οὐ et comp. δὲ. — [22] βασταζουσα] Pr. l. βασταζου; alt., σ adscr., α superscr. pall. atr. — [23] κινώπετα] In textu pr. l. κικώπϊα, α superscr., alt. nota ·/. superscr. in ϊ necnon et post ϊ al. scr. confuse; in ext. marg. cum ead. nota κινώπετα· a pr. m. — [24] μηδεμίαν] Cod. μὴδὲμίαν. — [25] οὕτως] ω litt. ο simill. οὕτως ὁ Ἰησοῦς] Pr. l. οὕτως ἰησοῦς; alt., ὁ pall. atr. superscr. — [26] ἑρπετῶν] ἑρ-| pr. l. πετο. — [27] σπείρας] In ima parte litt. ρ virg. — [28] ὁρμησάσης] Sub ρ f. al. — [29] τρόπον] Cod. τρόπων pl. — [30] πέτρας] F. pr. l. πέρας. — [31] μηδεμίαν] Cod. μὴδεμίαν. — [32] τύπῳ] Cod. τύπω. — Cod. in ima fol. parte δεξάμενος. — [33] δεξάμενος] Cod. δεξαμενος. — [34] δυνάμεις] Pr. l. δυνάμεν; alt. δυνάμενεις an δυνάμεις, comp. μεν manente. — [35] ᾅδην] Cod. ἄδην. — [36] δείξῃ] Cod. δειξη. — [37] τίς] Cod. τὶς.

ὁ παθὼν, καὶ τίς[1] ἔνδον ἐν αὐτῷ· εἰ γὰρ ὑφ' ἓν ἡ κτίσις ὑπὸ τοῦ δοκοῦντος πεπονθέναι κεκλόνηται, ἀναμφιβόλως Θεὸς καὶ δημιουργὸς[2] ἐν αὐτῷ τὸν κόσμον ἐσάλευσε, καὶ τὰ τῶν ἀφρόνων ἀπέσβεσεν[3] ὄργια[4]· στρατιώτης γὰρ οὐ πρὸ τῆς συμβολῆς, ἀλλὰ μετὰ τὴν συμβολὴν, ὅστις ἦν, τοῖς πολεμίοις[5] γνωρίζεται· τί[6] γὰρ μεῖζον ἢ κατελθεῖν[7] ἀπὸ τοῦ ᾅδου[8] διὰ τριῶν ἡμερῶν[9]; 5

Θεσμὸς οὖν ὄντως[10] καὶ τάξις ἀκόλουθος μηδὲν ἐν τῷ προσαχθῆναι Πιλάτῳ τὸν Χριστὸν καινουργῆσαι παράδοξον, ἵνα μὴ καθάπερ ἐν θεάτρῳ προσωπείῳ τινὶ καινοτέρῳ[11] καὶ βλοσυρῷ τὴν ἐπ' αὐτὸν τῶν θηρίων ἀνασείλῃ[12] κακίαν, ἀλλὰ μᾶλλον τῷ ταπεινῷ εἰς τὸν ἀγῶνα τῆς μάχης ἐρεθίσῃ, καὶ τούτων[13] συνέσει καὶ ῥώμῃ[14] φιλοκαλῶν νικήσῃ[15] τὴν ὠμότητα. Ὅθεν ὁ φανεὶς ἐν τῇ συμβολῇ ταπεινὸς μετὰ τὴν συμβολὴν ὤφθη φρικωδέστατος, γῆς[16] αὐτὸν οὐ φερούσης, οὐδ' ὑπομένοντος οὐρανοῦ[17] βλέπειν τὸ ἀγώνισμα, ἀλλὰ τῆς μὲν ὧδε κἀκεῖσε[18] δραπετευούσης[19] καὶ τοῖς σεισμοῖς ὑποφευγούσης μακρὰν[20], τοῦ δὲ καὶ τὸν[21] ὀφθαλμὸν[22] τοῦ φωτὸς (ὡς εἰπεῖν) ἀποκλείσαντος καὶ μηκέτ' ἐπαρκοῦντος ὁρᾶν[23] τὸ γινόμενον. Καὶ περὶ μὲν τοῦ[24] πάθους ἕως ὧδέ σοι[25] λελέχθω τὰ τῆς[26] ἀποκρίσεως[27]. 10 15

[1] *τίς*] Cod. *τὶς*. — [2] *δημιουργὸς*] Pr. l. *δι*. — [3] *ἀπέσβεσεν*] Cod. *ἀπέσβευσεν*, lig. *ευ*. — [4] *ὄργια*] Pr. l. *ὀγ*, inch. *γ*. — [5] *ἦν τοῖς*] Cod. *ἦν τῶν*. — [6] *τί*] Cod. anc. acc. — [7] *μεῖζον ἢ κατελθεῖν*] Cod. *μεῖζον ; κατελ-|θεῖν*. — [8] *ᾅδου*] Cod. *ἅδου*. — [9] *ἡμερῶν*] F. pr. l. *ι*. — [10] *ὄντως*] Pr. l. *ὀντος*. — [11] *βλοσυρῷ*] Cod. *βλοσσυρῷ*, lig. *σσ*. — [12] *ἀνασείλῃ*] Cod. pr. l. *ἀνασίλη*; alt. *ἀνασίλειλη*. — [13] *τούτων*] Cod. *τοὺς* pl. — [14] *ῥώμῃ*] Sub *ρ* al. — [15] *νικήσῃ*] Pr. l. *νικήσει*. — [16] *γῆς*] Cod. *τῆς* pl. — [17] *οὐρανὸν*] Cod. pr. l. *οὐρανὸν*, alt. *ν* inch. ; alt. *οὐρανὸῦ*, pr. acc. cum comp. *ρα* manente. — [18] *κἀκεῖσε*] Cod. in textu pr. l. *κᾀκεῖνο* ; alt., not. ·/. ; in ext. marg. cum ead. nota *ἐσ·* (sc. *ἴσως*) | *κᾀκεῖσέ* a rec. m. — [19] *δραπετευούσης*] Pr. l. *δραπετεύ* ; alt., pr. acc. lin. transf. — [20] *μακράν*] Sub alt. *α* al. — [21] *τὸν*] Sub *ο* al. — [22] *ὀφθαλμὸν*] Cod. *ὀφθαμενὸν*, comp. *μεν*, comp. *ὸν*. — [23] *ὁρᾶν*] Cod. *ὁρᾷν*. — [24] *τοῦ*] Pr. l. *τους*. — [25] *ὧδὲ σοι*] Cod. pr. l. *ὥδεσι* ; alt. *ὥδεσοι*. — [26] *τῆς*] In textu pr. l. *πῆς* ; alt. not. /. ; in ext. marg. cum ead. nota *τῆς* pall. atr. — [27] *ἀποκρίσεως*] Pr. l. *αποκρίσεως* ; alt., pall. atr. sp.

CAPUT IX.

Solutio de dictis :... Cœpit contristari et moestus esse. Tunc ait illis : Tristis est anima mea usque ad mortem : sustinete hic, et vigilate mecum. Et progressus pusillum, procidit in faciem suam, orans, et dicens : Pater mi, si possibile est, transeat a me calix iste; verum tamen non sicut ego volo sed sicut tu, etc. (Matth. xxvi, 36, sq., Marc. xiv, 32, sq.; Luc. xxii, 39, sq.)

Περὶ δὲ τοῦ πῶς ἠγωνίασε τὸ πάθος, καὶ τοὺς ἐπ' αὐτὸν ἐρχομένους ἔτρεσεν, ἤδη σοι τὸ κεφάλαιον ἀφηγοῦμαι τρανότερον, εἰ καὶ τὴν λέξιν ἔχει μαχομένην καὶ οὐ σαφῆ· τὸ γὰρ λέγειν, « [a]Μὴ φοβηθῆτε τοὺς ἀποκτέννοντας τὸ σῶμα, » καὶ αὐτὸν φοβεῖσθαι τοῦ θανάτου τὴν πρόφασιν[1], κἀπὶ[2] τοσούτῳ πτῆξαι, ὡς καὶ δι' εὐχῆς παραιτεῖσθαι[3] τὸ θανεῖν[4] λέγοντα, « [b]Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον, » δοκεῖ τοῖς οἰκείοις μάχεσθαι παραγγέλμασι, καὶ τὴν παραινετικὴν[5] νομοθεσίαν ἀκυροῦν· εἰ γὰρ ἄλλοις ὑποτίθεται μὴ δεδοικέναι θάνατον, αὐτὸς[6] δ' ἐν ἐπιτάσει πολλῇ τοῦτον ἀπεύχεται, πολλὴν ἀπὸ τῆς λέξεως ἔχει τὴν ἀσάφειαν. Ἀλλ' οὐ χρὴ μόνην τὴν λέξιν ἐπιπολαίως ὁρᾶν[7], ἀλλ' ἰχνεύειν τὸν νοῦν τῆς οἰκονομίας ἐν τῇ λέξει κρυπτόμενον. Ὥσπερ[8] οἱ σοφοὶ τῶν ἰατρῶν οὐ τὴν προφανῆ τῆς βοτάνης ἀηδίαν αὐτὸ μόνον δικάζουσιν, ἀλλὰ τὴν ἐγκειμένην ἐν τῇ πόᾳ λεληθότως ὠφέλειαν συνέσει λογίζονται, καὶ ταύτῃ περὶ πολλοῦ ποιούμενοι τίθενται[9], τὸν αὐτὸν χρὴ τρόπον ἡμᾶς ἐπιβάλλοντας[10] τοῖς θείοις παιδεύμασι μὴ μόνον προσέχειν τῇ ἀηδίᾳ[11] τῆς λέξεως, ἀλλὰ καὶ τὴν λανθάνουσαν οἰκονομίαν ζητεῖν, τὴν ἀπόκρυφον ἐρευνᾶν[12] λυσιτέλειαν. Τί[13] γοῦν ἐστιν[14] ὃ[15] λέγει, « [c]Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω[16] τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ[17], » ἐπισκεπτέον[18] ἤδη.

Θανάτου[19] παιδεύσας καταφρονεῖν τοὺς μαθητὰς καὶ φράξας αὐτοὺς καρ-

[1] πρόφασιν] Comp. φασῖν, in quo α et ν scr. — [2] κἀπὶ] Cod. κἀπῖ. — [3] παραιτεῖσθαι] Cod. παραιτῆσθαι. — [4] θανεῖν] Sub a al. — [5] καὶ τὴν παραινετικὴν] In textu pr. l. καὶ παραινετικὴν; alt. not. ·/. supra π pos.; in ext. marg. cum ead. nota τὴν pall. atr. — [6] αὐτὸς] Cod. αὐτος. — [7] ὁρᾶν] Cod. ὁρᾶν. — [8] ὥσπερ] In textu pr. l. ὡς; alt., nota ·/.; in ext. marg. cum ead. nota ὅπερ pall. atr. — [9] τίθενται] Pr. l. θενται; alt., τί superscr. — [10] ἐπιβάλλοντας] ἐπῖ βάλλοντας. — [11] ἀηδίᾳ] Pr. l. ἀι. — [12] ἐρευνᾶν] Cod. ἐρευνᾷν. — [13] Τί] Cod. τι. — [14] γοῦν ἐστιν] Cod. γοῦν ἐστὶν. — [15] ὃ] Cod. ὁ. — [16] παρελθέτω] Cod. pr. l. δυνατὸν παρελθέτω; alt. δυνατὸν ἐστὶ (ἐστὶ ultra vers. scr.) | παρελθέτω. — [17] ἐμοῦ,] Cod. ἐμοῦ; interp. — [18] ἐπισκεπτέον] Cod. ante Ἐπισκεπτέον quinque sexve litter. lac. — [19] Cod. in ext. marg. iuxta παρελθέτω et του voc. θανά-|του vers. sq.: λύσις τοῦ $\overline{\beta^{ου}}$ (sc. δευτέρου κεφαλαίου) a rec. m.

τερικοῖς ὅπλοις τῆς ὑπομονῆς αὐτὸς[1] ἀποδειλιᾷ καὶ φρίττει καὶ τρέμει[2] τὸν θάνατον δι' ὑπερβάλλον, ὡς ἔφην, οἰκονομίας κατόρθωμα. Καὶ τί[3] τοῦτο τυγχάνει[4] γνησίως[5], ἐπάκουσον, ὃ ἐνεδοίαζεν[6]. Ὁ πολέμιος δεδιὼς μή πη[7]
Fol. 29, r°. Θεὸς ὄντως καὶ Θεοῦ[8] παῖς[9] ὁ Χριστὸς, καὶ ταῖς ὑπερθέσεσι τῶν Ἰουδαίων πλῆθος στρατεύειν ἐβράδυνε καὶ τὴν προθεσμίαν οὐκ ἐνήργει[10] τοῦ πάθους· δέος γὰρ ἔσχεν αὐτὸν, μὴ νομίσας ἀνθρώπῳ συμβάλλειν, Θεῷ συγκρουσθεὶς[11], ὡς ἐν ἀορασίᾳ πληγεὶς, ἀναλωθήσεται. Ὁρῶν γὰρ ὑπ' αὐτοῦ νεκροὺς ἀπὸ τάφων εἰς ζωὴν καλουμένους[12] καὶ τυφλοὺς ἀπὸ σκοτεινῆς[13] ἀναγομένους φυλακῆς εἰς[14] περιφεγγῆ καὶ λαμπρὰν ἀπόλαυσιν, ὁρῶν ἐξ ἀνθρώπων ὑφ' ἕνα καιρὸν ἐλαυνόμενα[15] πάθη καὶ λόγῳ μόνῳ τὰ[16] νοσήματα φεύγοντα, ὁρῶν θάλασσαν[17] ὡς λεωφόρον[18] εἰς πορείαν τούτῳ γιγνομένην ἀτέραμνον, ὁρῶν ἀνέμους ἐκ πολλοῦ πατάγου[19] λαβόντας πραότητα, βλέπων[20] οὐρανὸν[21] αὐτῷ μαρτυρίας ἕνεκεν ὑψηλὸν ἀνοιγόμενον, ἀκούων ἐξ αἰθερίου καταρράκτου[22] φωνὴν[23] ἀποβροντήσασαν[24], ἀκούων ὑψόθεν ἀγαπητὸν υἱὸν καὶ μονογενῆ λαμπρῶς κελαδούμενον, καὶ ταῦτ' ἐφ' ἑκάστῃς ἀναμαρυκώμενος[25], οὐκ ἐτόλμα[26] τὴν οἰκείαν καθοπλίσαι[27] φάλαγγα[28] τεθηπὼς[29] τὰ λεγόμενα[30]. Καὶ συνέβαινε, τοῦ κυριακοῦ πάθους μὴ γινομένου[31], ἀπομεῖναι τὸν κόσμον ὅλον ἀδιόρθωτον, ἔσχατον ὀφλῆσαι τὰ πάντα[32] γέλωτα, ἀνεξάλειπτον τῆς παρακοῆς ἐγκεῖσθαι τὸ πλημμέλημα, μηδέ ποτε καθαρθῆναι τῆς παραβάσεως τοὺς μώλωπας μηδὲ[33] τῆς καταράσεως λυθῆναι τὰ ὑπώπια[34]· συνέβαινε χείρονα τῶν

[1] αὐτὸς] Cod. αὐτὸν — [2] ἀποδειλιᾷ-τρέμει] In textu pr. l. ἀποδειλιᾷ καὶ τρέμει; alt. ἀποδειλιᾷ not. ·/. καὶ τρέμει; in ext. marg. iuxta ὅπλοις, nota om. : καὶ φρίττει a pr. m. F. malis ἀποδειλιᾷ καὶ φρίττει. — [3] τί] Cod. anc. acc. — [4] τυγχάνει] Sub lig. ει al. — [5] γνησίως] Pr. l. γη (inch. η.) — [6] ἐνεδοίαζεν] In textu pr. l. ἐνεδοίζεν; alt., not. ·/.; in ext. marg. cum ead. nota ἐνεδοίαζεν pall. atr. — [7] πη] Cod. πῃ. — [8] Θεοῦ] Sub θ comp. Θεοῦ al. — [9] Cod. in ima fol. parte ὁ (ο rescr.) Χριστὸς comp. — [10] ἐνήργει] Pr. l. ἐνήργη. — [11] συγκρουσθεὶς] Pr. l. συκ. — [12] καλουμένους] Sub υμ al.; μ mut. in comp. μεν. — [13] ἀπὸ σκοτεινῆς] Cod. ἀποσκοτεινῆς. — [14] εἰς] F. pr. l. η. — [15] ἐλαυνόμενα] Cod. in textu pr. l. ἐλαυνώμεθα; alt., nota ·/. sc.; in ext. marg. iuxta καλουμένους καὶ et λαμπρὰν : ἴσ : (sc. ἴσως)|·/. ἐλαυνώ-(ita)|μενα pall. atr. — [16] τὰ] Pr. l. το. — [17] Θάλασσαν] Cod. Θαλασσαν, nisi acc. pall. atr. additus fuerit. — [18] λεωφόρον] Pr. l. λεο. — [19] πατάγου] Pr. l. πο. — [20] λαβόντας-βλέπων] In textu pr. l. λα-|βόντας βλέπων; alt., nota ·/. pos.; in ext. marg. iuxta πο- voc. πο-|ρείαν et λα- voc. λα-|βόντας cum ead. nota πραότητα a pr. m. — [21] οὐρανὸν] Cod. ουρανὸν. — [22] καταράκτου] F. pr. l. καταρυ. — [23] φωνὴν] Sub pr. υ al. — [24] ἀποβροντήσασαν] In textu pr. l. ἀποβροντήσαν; alt., nota ·/. pos.; in ext. marg. cum ead. nota σα pall. atr. — [25] ἀναμηρυκώμενος] Cod. ἀναμαρυκώμενος. — [26] οὐκ ἐτόλμα] Pr. l. οὐτ; alt., parte τ exp. — [27] καθοπλίσαι] Pr. l. καθολί; alt. π superscr. — [28] φάλαγγα] Φαλαγ (non φάλαγ-)|γα. — [29] τεθηπὼς] Pr. l. τεθηπῶ; alt. τεθηπῶς. — [30] λεγόμενα] Pr. l. λεγόμενο, ο superscr. — [31] Cod. in ext. marg. iuxta γι- voc. γι-|νομένου comp. σημείωσαι pall. atr. — [32] Cod. in ext. marg. iuxta πάντα lin. — [33] μηδὲ] Cod. μὴδὲ. — [34] ὑπώπια] Cod infra ὑπώ lin. — Cod. in ext. marg. iuxta ὑπώ- voc. ὑπώ-|πια lin.

προαγόντων ἐπιφυῆναι τὰ πλαίσματα[1]· συνέβαινεν[2] εἰς[3] τὸ παντελὲς διαφθαρῆναι τὴν ἀνθρωπείαν φύσιν· συνέβαινε σκηνὴν τραγῳδίας χαλεπωτέραν γενέσθαι, εἴ γ' ὁ παρὼν διὰ πάθους ἀπάθειαν τοῖς παροῦσιν ὀρέξας[4] ἐκ σκευωρίας οὐ πεπόνθει τοῦ δαίμονος.

. v°. Ὅθεν ἵνα μὴ τοῦτο γένηται[5] τὸ κακὸν καὶ κακοῦ παντὸς ἀργαλεώτερον, τὸ[6] πάσης κατηφείας καὶ συμφορᾶς ἐπέκεινα; γυμνοῖ[7] τὸν ἄνθρωπον, φόβου ὑποκρίνεται, δειλιᾷ τὸ πάθος, ἀγωνιᾷ τὸν θάνατον, τὸ τῆς ἀσθενείας ἰδίωμα πλάττεται, τὸ τῶν ἀνθρώπων προσωποποιεῖται ταπεινὸν, ἵν' ἐρεθίσῃ τοῦτον καὶ καθάπερ θηρίον[8] ἐκ ζώγρου τῷ τῆς φωνῆς ἀποσαλεύσῃ πατάγῳ[9]. Ἐπειδὴ γὰρ δύο ἦν, ἐξ ὧν ὁ ἄνθρωπος ἡτλημένος καταβέβλητο, τὸ ξύλον δηλαδὴ[10] καὶ τὸ βρῶμα τοῦ ξύλου, καὶ τὸ μὲν τοῦ βρώματος πλῶμα νησλεύσας νενικήκει, νενικήκει[11] δὲ πεινᾶν[12] ὑποκριναμένος· ἐν ᾧ γὰρ οὐκ ἐπείνα, ὁ πειράζων[13] ἡσύχαζε καὶ τῆς ἰδίας κακίας τὴν πανουργίαν ἔκρυπλεν[14]· ἐν ᾧ δ' ὁ νησλεύων φαγεῖν[15] ἐπεθύμησεν[16], ὁ πειράζων ἐπέδραμεν ὡς ἀσθενεῖ τῷ Χρισλῷ, καὶ
. IV, 13; th IV, συμβαλὼν ἡτλήθη[17], καὶ μακρὰν ἀνεχώρησε κατὰ τὸ γεγραμμένον· [a]Ἀπέσλη ἀπ' αὐτοῦ ἄχρι[18] καιροῦ· ἐπειδὴ οὖν κεχώρισλο ἀπὸ τῆς νησλείας νικηθεὶς ὁ διάβολος ὁ πρώην διὰ βρώματος τὸν Χρισλὸν ὡς τὸν Ἀδὰμ ἀπατῆσαι βουλόμενος, καὶ συμβαλεῖν[19] οὐκ ἐτόλμα πληγῶν ὑπώπια βασλάζων ἐπίσημα, τούτου χάριν ὁ Μονογενὴς καὶ μόνος ἀγωνισλὴς νικῶν πάντοτε καὶ μηδαμοῦ νικώμενος[20] προσποιεῖται δειλιᾶν, ἵνα δελεάσῃ[21] τοῦτον αὖθις εἰς μάχην, ὡς τὸ πρῶτον πεινήσας εἰς συμπλοκὴν[22] ἠρέθισε[23], καὶ νικήσας ἔρριψε τὸν διὰ βρώματος πρώην νενικηκότα[24]. Τὴν γοῦν ἐκ τοῦ βρώματος ἐκγενομένην[25] ἀποκαθάρας νόσον διὰ τῆς ἀθλητικῆς[26] νησλείας[27] καρτερικῶς τὴν ἀπὸ τοῦ ξύλου γενομένην ἀπάτην ἔσπευδεν[28] ἀναλῦσαι[29] διὰ ξύλου ξύλον προπετὲς διορθού-
. 30, r°. μενος, μᾶλλον δὲ[30] τὸν προπετῶς[31] ἐξ αὐτοῦ γευσάμενον, ἵν' ἐν τῇ γῇ τοῦ

[1] συνέβαινε-πλαίσματα] Cod. infra αινε χείρον, ϊφυῆνα, αίσμα tres lin. — [2] Cod in ext. marg. iuxta συνέ- voc. συνέ-|βαινεν lin. — συνέβαινεν] συνέ-| pr. l. βαινε; alt. βαινεν, ν superscr. — [3] συνέβαινεν εἰς] Cod. inter voces al. eras. — [4] ὀρέξας] Cod. ὀρε-|(sic)|ξαι. — [5] γένηται] Cod. γένηται. — [6] τὸ] ο rescr. — [7] γυμνοῖ] Cod. γυμνὸν. — [8] θηρίον] Supra ρ et acc. alt. acc. ac. et comp. paene expunctum; f. pr. l. θήρων mendose. — [9] πατάγῳ] Inter α et τ al. — [10] δηλαδὴ] Infra λαδ hyph. — [11] νενικήκει] Pr. l. νεκη; alt., νι superscr. — [12] πεινᾶν] Cod. pr. l. f. ῦ; alt. πεινᾷν. — [13] πειράζον] F. pr. l. πι. — [14] ἔκρυπλεν] Pr. l. ἔκρι. — [15] φαγεῖν] Pr. l. ε. — [16] ἐπεθύμησεν] Pr. l. ἐπεθύμι. — [17] ἡτλήθη] Cod. ἡτλήθη. — [18] ἄχρι] Sub χ et ρ al. — [19] συμβαλεῖν] Cod. συμβαλὼν pl. — [20] νικώμενος] Pr. l. νικό. — [21] δελεάσῃ] Cod. δελεάσῃ. — [22] συμπλοκὴν] συμ-| pr. l. πλογ. — [23] ἠρέθισε] Cod. ἠρέθησε. — [24] νενικηκότα] Cod. νενικότα. — [25] ἐκγενομένην] Cod. ἐγγενομένην. — [26] ἀθλητικῆς] Cod. pr. l. ἀθη; alt. ἀθλιτικῆς. — [27] νησλείας] Sub lig. σλ al. — [28] ἔσπευδεν] Pr. l. ἔσπες (sub σπ al.). — [29] ἀναλῦσαι] Cod. ἀναλύσαι. — [30] Cod. in ima fol. parte τὸν προ-. — [31] τὸν προπετῶς] Pr. l. προπετῶς; alt., τὸν pl. ante vers. scr.

σταυροῦ ῥιζωθέντος ἢ πεγέντος, ὁ στρατηγὸς ἀπ' αὐτοῦ τὸν ἐφ' ἑτέρου ξύλου καθήμενον τύραννον τοξεύσας καταβάλῃ [1], ἵν' ἀπὸ ξύλου τὸν ἐν ξύλῳ φονεύσῃ πολέμιον. Ὅθεν σπεύδων ὁ Σωτὴρ καὶ πλέον τοῦ δεύντος ἐπιταχύναι [2] τὸν σταυρὸν ἐλεεινὰ κράζει, καὶ βοᾷ συμπαθέστερα, καὶ τὸν πατέρα λιπαραῖς [3] ἱκεσίαις ἐκδυσωπεῖ [4], οὐχ ἵνα παρέλθῃ [5], ἀλλ' ἵνα τάχιον ἔλθῃ [6] τὸ ποτήριον. Εὖ δὲ ποτήριον [7] καὶ μὴ πάθος ὠνόμασε τὸ πάθος· εὐφροσύνην γὰρ εἶχεν, οὐ λύπην τὸ πρατλόμενον, καὶ νέκταρ ἡδὺ τὸ πάθος καὶ πόμα γλυκύτατον, ὅπερ πιὼν ὁ Σωτὴρ προΰπιε τοῖς πιστεύουσι ζωὴν ἐρευξάμενος· εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν εἶπε ποτήριον. Σπεύδων γὰρ τάχιον κραθῆναι [8] τὸ ποτήριον διὰ τὸν ἀβλεπλοῦντα καὶ μὴ συνορῶντα τῆς οἰκονομίας ἵν' εἴπω [9] τὸ ἀπόρρητόν φησι [10]· « Παρελθέτω, ἢ ἵν' ἐλεεινῆς τοῦ Χριστοῦ φωνῆς ἀκροασάμενος Θᾶτλον τοῦ δέοντος μετὰ τῆς οἰκείας [11] ἐπιδράμῃ Φάλαγγος [12], καὶ τὴν ὑστάτην τροπωθεὶς ἥτλαν [13] ἀπενέγκηται [14] ἵνα τῷ ταπεινῷ τοῦ λόγου δελεασθεὶς, ὡς δράκων ἀγκίστρῳ περιπαρεὶς, ἀπόληται [15].

Τοῦτο [16] ἁλιεὺς πολλάκις ἔμπειρος ἐποίησεν ἰχθὺν ὀγκώδη λαβεῖν ἐκ τοῦ βυθοῦ βουλόμενος· βραχὺν σκώληκα τῷ ἀγκίστρῳ περιθεὶς λιχνείᾳ [17] γαστρὸς ἀπατώμενον ἔλαβεν. Οὕτω τὸν ἐν [18] τῇ Θαλάττῃ τοῦ βίου κρυπλόμενον ἀρχέκακον καὶ πανοῦργον [19] καὶ δόλιον δράκοντα Θέλων ὁ Χριστὸς ἀνασπᾶσαι τοῦ [20] Φάρυγγος δίκην σκώληκος τῷ τῆς Θεότητος ἀγκίστρῳ περιβάλλει τὸ
Fol. 30. v°. σῶμα, καὶ δι' αὐτοῦ Φθεγγόμενος δελεάζει [21] τὸν νοητὸν καὶ πνευματικὸν ὄΦιν.
Ps. xxi, 17. Ὅθεν καθὸ ἄνθρωπος ψάλλων πρὸ πολλοῦ [22] τοῦτο κατεμήνυε [23] λέγων· « Ἐγὼ δέ εἰμι [24] σκώληξ καὶ οὐκ ἄνθρωπος. » Αὕτη ἡ σκώληξ συναχθεῖσα τῷ Θεῷ λόγῳ ταὐτῦν [25] ἐν τῷ πελάγει τῆς Θνητῆς ζωῆς ἐνεχομένη [26] τὸ σλόμα τοῦ δράκοντος ἐφ' ἑαυτὴν ἠρέθισε [27], καὶ κατέσχε τοῦτον δοκοῦσα κατέχεσθαι [28]· αὕτη ἡ σκώληξ τὸ ξύλον τοῦ Θανάτου κεκρυμμένως διέΦαγεν· αὕτη ἡ σκώληξ τὸ χῶμα τῶν ἀδυνάτων λεληθότως [29] ὑΦερπύσασα [30] ἄΦωνα νεκρῶν διήγειρε

[1] καταβάλῃ] Cod. καταβάλη. — [2] ἐπιταχῦναι] Cod. ἐπιταχύναι. — [3] λιπαραῖς] F. malis λυπηραῖς. — [4] Cod. in ext. marg. iuxta ἐκδυσωπεῖ· comp. σημείωσαι pall. atr. — [5] παρέλθῃ] Cod. παρέλθη. — [6] ἔλθῃ] Cod. ἔλθη. — [7] ποτήριον] Sub ρ al. — [8] κραθῆναι] Pr. l. κρατ. — [9] εἴπω] Cod. εἴπῳ. — [10] ἀπόρρητόν φησι] Cod. ἀπόῤῥητον, φησί comp. — [11] οἰκείας] Pr. l. ὀικι. — [12] Φάλαγγος] Pr. l. Φὰ. — [13] ἥτλαν] Pr. l. ἦ. — [14] ἀπενέγκηται] Cod. ἀπενέγκηται. — [15] ἀπόληται] Cod. pr. l. ἀπο; alt. ἀπώληται. — [16] Cod. ante τοῦτο et supra duas lin. — [17] λιχνείᾳ] Cod. pr. l. λιχνι; alt. λιχνεία. — [18] τὸν ἐν] Pr. l. τὸ ἐν; alt. τὸνἐν. — [19] πανοῦργον] Sub ρ al. — [20] τῆς] Cod. τοῦ pl. — [21] δελεάζει] Cod. δε- (in fine fol. recti) | δελεάζει (in initio fol. versi). — [22] πρὸ πολλοῦ] Cod. προπολλοῦ. — [23] Cod. in ext. marg. iuxta κατεμήνυε et συναχθεῖσα : σκώληξ ἡ τὸν | δράκοντα | ἀγκιστρεύσασα a rec. m. — [24] δέ εἰμι] Cod. δὲ εἰμὶ. — [25] ταυῦν] Cod. infra pr. ν hyph. — [26] ἐνεχομένη] Cod. ἐνηχομένη. — [27] ἠρέθισε] Cod. ἠρέθησε. — [28] κατέχεσθαι] Sub χ al. — [29] λεληθότως] Cod. λελυθότως. — [30] ὑΦερπύσασα] Cod. ὑΦερπήσασα; sub Φ al.

σώματα· αὕτη ἡ σκώληξ εἰληδὸν ἄδην[1] κυκλώσασα τοὺς ἐπικαθημένους φρουράρχους ἀπέπνιξε καὶ τοὺς ἐκεῖ δυνάστας λαβοῦσα συνέσφιγξεν· αὕτη ἡ σκώληξ εἰς τὰ τῆς τυραννίδος ἀρχεῖα κατελθοῦσα τὰ τῶν ἁμαρτημάτων χαρτία διέκοψε τὸ πᾶν διαφθείρασα, ἐν οἷς τὰ τῶν ἀνθρώπων ἐγέγραπτο πλημμελήματα· αὕτη ἡ σκώληξ τοῦ διαβόλου τὴν κιβωτὸν ἠφάνισεν, ἣν ἀπὸ τοῦ ξύλου τῆς παρακοῆς τεκτονεύσας ἐποίησεν, ἐν ᾗ τὸν[2] πέπλον τῆς ἀνθρωπείας[3] δόξης ἀποθέμενος ἔκρυψεν· αὕτη ἡ σκώληξ ἄνευ συνουσίας καὶ κοινωνίας ἐγένετο[4]· αὕτη μυστικὴ, μονογενὴς, ἀπόρρητος· διὰ τῆς σκώληκος ταύτης[5] τὸ μυστικὸν ἄγκιστρον τὸν ὠγύγιον ἀνέσπασε δράκοντα, περὶ οὗ τις[6] τῶν ἁγίων λογάδων ἐθέσπισεν[7]· « [8]Ἄξεις δράκοντα ἐν ἀγκίστρῳ. » Ἱκανά σοι παρ' ἡμῶν τὰ τῆς ἀποκρίσεως, καὶ τοῦ τῆς κοινῆς οἰκονομίας χάριν παραιτεῖσθαι τὸν Χριστὸν τὸ πάθος ὁ λόγος ἀρίδηλος.

[1] ἄδην] Cod. ἀδην. — [2] τὸν] Cod. τὸ. — [3] ἀνθρωπείας] Pr. l. ἀνθρωπι comp. — [4] ἐγένετο-διὰ] Cod. ἐγενετο·|αὕτη μυστικὴ, μονογενὴς ἀπορρήτος· διὰ interp. — [5] σκώληξ femin. ubique in hoc capite. — [6] οὗ τις] Cod. οὗ τὶς (an τίς). — [7] ἐθέσπισεν] Sub comp. ευ f. comp. αν.

CAPUT X.

Solutio de dicto : Si enim crederetis Moysi, crederetis forsitan et mihi : de me enim ille scripsit. Si autem illius litteris non creditis, quomodo meis verbis credetis? (Ioh. v, 46, 47.)

Τὸ[1] τρίτον δέ σοι λέγειν ἀνάγκη κεφάλαιον τὸ περὶ τοῦ[2] Χριστοῦ τοῖς Ἰουδαίοις[3] τὸ λέγον· « [a]Εἰ ἐπιστεύετε[4] Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί[5]· περὶ γὰρ ἐμοῦ ἐκεῖνος[6] ἔγραψε· » καὶ ὅτι μὲν περὶ τοῦ Χριστοῦ γέγραφεν ὁ Μωσῆς, κόσμος ὅλος ἀναφανδὸν ἀναγνοὺς ἐπέγνωκε[7] πῇ μὲν [b]προφήτην αὐτ' αὐτοῦ ἀνεστήσεσθαι λέγοντα, πῇ δὲ πλάττοντα σὺν τῷ πατρὶ τὸν ἄνθρωπον, πῇ δ' [c]ἐν βάτῳ τὸ πάθος μυστικῶς ἀφηγούμενον, πῇ δ' [d]ἐν[8] ῥάβδῳ[9] τὸν σταυρὸν γράφοντα καὶ μηνύοντα, πῇ δὲ [e]στάμνον χρυσῆν[10] τὸ σῶμα τὸ καθαρὸν ἔχον ἄσηπτον[11] τροφὴν τὸν οὐράνιον[12] λόγον, καὶ μυρία ἄτλα[13] τούτοις συγγενῆ καὶ ἀκόλουθα. Ἐπεὶ[14] δ' ἔφης τὰ Μωσέως ἐν τῇ αἰχμαλωσίᾳ πεπονθέναι γράμματα, καὶ αὖθις οὐκ ἀκριβῶς ὑπὸ Ἔσδρα[15] γεγράφθαι, εὑρεθήσεται[16] κατὰ πᾶσαν ἀκρίβειαν δευτερογραφηθέντα· οὐ γὰρ ἄλλος ἐλάλει[17] τῷ Ἔσδρᾳ[18], καὶ ἕτερος τῷ Μωσεῖ, ἀλλὰ τὸ αὐτὸ πνεῦμα ἑκατέρους ἐδίδαξε, καὶ ἀμφοτέροις τὰ αὐτὰ σαφῶς ὑπηγόρευσε[19]· καὶ καθάπερ οἶκον ὑπὸ πολεμίων λυθέντα τὸν Μωσαϊκὸν[20] νόμον ὁ αὐτὸς τεχνίτης τῷ τῆς σοφίας κανόνι συνήγαγεν ἁρμοδίως ἕκαστον συγκροτήσας κεφάλαιον.

Ὅτι δὲ καὶ Λόγον Θεοῦ καὶ Θεὸν Λόγον καὶ Χριστὸν τὸν σταυρωθέντα κεκράγασιν ἄνωθεν οἱ θεσπέσιοι λόγοι, καὶ πᾶσα προφητικὴ δέλτος τοῦτο κατεμήνυσεν, ἔξεστί[21] σοι φιλαλήθως ἐπιγνῶναι τοῦτο σαφῶς, τοῦ μὲν Δαβὶδ[22] κελαδοῦντος ἐν ψαλμῳδίᾳ[23] καὶ λέγοντος· « [f]Ἔσωσε Κύριος[24] τὸν

Fol. 31, r°.

[a] Ioh. v, 46.

[b] Cf. Deut. XVIII, 15, 18; Ioh. I, 46, Act. III, 22.

[c] Cf. Ex. III.

[d] Cf. Num. XXIV, 17.

[e] Cf. Ex. XVI, 33; Hebr. IX, 4.

[f] Ps. XIX, 7.

[1] Cod in ext. marg. iuxta Τὸ : *λύσις* (corr. in *λύσις*) τοῦ|γ^ου (sc. *τρίτου*, subaudi *κεφαλαίου*) a rec. m. — [2] τοῦ] Sub *ο* al. — [3] Cod. in ima fol. parte *ιουδαίοις*. — [4] *ἐπιστεύετε*] F. pr. l. *ἐπϊστέυετο*. — [5] *ἐμοί*] *ο* rescr. — [6] *ἐκεῖνος*] Pr. l. *ἐγ*; in alt. sub *ο* al., sub *σ* al. — [7] *ἐπέγνωκε*] Cod. *επέγνωκε*. — [8] *ἐν*] Pr. l. *ἐν*. — [9] *ῥάβδῳ*] Ita, non *ῥᾰβδῳ*. — [10] *χρυσῆν*] Cod. *χρυσὴν*. — [11] *ἄσηπτον*] Cod. *ἄσηπτυν*. — [12] *οὐράνιον*] Cod. *ὀυράνινον*, comp. *υραν*, comp. *ον*. — [13] *ἄτλα*] Cod. *ἄτλα*. — [14] *ἐπεί*] Cod. *ἐπει*. — [15] Ἔσδρα] Cod. *ἐσδρα*, infra *ἔσ* hyph. — [16] *εὑρεθήσεται*] Pr. l. *εὑ*. — [17] Cod. in ext. marg. iuxta *ἐλά-* voc. *ἐλά-|λει* et *ἐδί-* voc. *ἐδί-|δαξε* tres lin., necnon et *ἔσδρας* (pr. l. *ἐ*) a rec. m. — [18] Ἔσδρᾳ] Cod. *ἔσδρᾳ*, infra *sδ* hyph. — [19] *ὑπηγόρευσε*] *ἐπηγόρευσε* an *ὑπηγόρευσε*? — [20] *μωσαϊκὸν*] Pr. l. *μωι*. — [21] *ἔξεστί*] Pr. l. *ἔξἐστί*; alt., alt. sp. lin. transf. — [22] Δαβὶδ] Comp. *δᾱ δ*. — [23] *ψαλμῳδίᾳ*] Summ. litt. *λ* cum *α* confusa. — [24] *ἔσωσε Κύριος*] In textu pr. l. *ἔσωκε*; sec. *ἐσωκύριος*, *κε* mut. in comp. *κύριος*; tert. *ἐσωκύριος*, not. ·/. supra *σ*; in ext. marg. cum ead. nota *ἔσωσε* pall. atr.

Χρισ̀ὸν αὐτοῦ. Περὶ δὲ τοῦ Λόγον ὑπάρχειν τὸν Χρισ̀ὸν Ἡσαΐας φησίν·
1, v°. Is. II, 3. «[a] Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος[1] Κυρίου ἐξ Ἰερουσαλὴμ[2], καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν, καὶ ἐλέγξει ἔθνη πολλά.» Περὶ[3] δὲ τοῦ Κύριον Θεὸν εἶναι[4] τὸν Χρισ̀ὸν Δαβὶδ[5] φάσκει· «Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν·» καὶ αὖθις ὅτι
XLIV, 8; 9. Cf. V, 18; 27; X, Θεὸς ὢν ὁ Λόγος, ἐχρίσθη εἰς ἄρχοντα, καθὸ ἄνθρωπός, φησι[6]· «[b] Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου.» Καὶ τί[7] χρή σοι πολλὰς[8] καὶ καθημαξευμένας[9] προφέρειν[10] μαρτυρίας[11], ἃς ἡ τοῦ κόσμου τετρὰς μαθοῦσα κατεδέξατο; Ἐπεὶ γοῦν Μωσῆς περὶ τοῦ Χρισ̀οῦ πολλὰς καὶ τηλαυγεῖς μαρτυρίας ἔγραψεν, Ἰουδαῖοι δὲ ταύτας περὶ αὐτοῦ λεχθείσας λαβεῖν[12] οὐκ ἠθέλησαν[13], εἰκότως ἔλεγεν αὐτοῖς· «Εἰ ἐπισ̀ευετε Μωσεῖ, ἐπισ̀ευετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν.»

[1] λόγος] Sub o al., sub s al. — [2] Ἰερουσαλὴμ] Comp. ἰλη̄μ. — [3] πολλά· περὶ] Cod. inter voc. lac. duar. litter. — [4] εἶναι] ει rescr. — [5] Δαβὶδ] Comp. δδ, lin. et anc. acc. supra pos. — [6] ἄνθρωπός φησι] Cod. comp. ἄνθρωπος comp. φησὶ. — [7] τί] Cod. anc. acc. — [8] πολλὰς] Sub σ al. — [9] καθημαξευμένας] Cod. κατημαξευμένας, sub pr. α al. — [10] προφέρειν] Cod. προφεύρειν. — [11] Cod. in ext. marg. iuxta τυρίας voc. μαρ|τυρίας lin. necnon et infra τετρὰς μαθοῦσα κα lin. — [12] λαβεῖν] Sub ε lig. ει al. — [13] ἠθέλησαν] Sub pr. η al.

CAPUT XI.

Solutio de dictis : Dæmones autem rogabant eum dicentes : Si eiicis nos hinc, mitte nos in gregem porcorum. Et ait illis : Ite. At illi exeuntes abierunt in porcos, et ecce impetu abiit totus grex per præceps in mare, et mortui sunt in aquis, etc. (Matth. VIII, 31, 32, sq.; Marc. V, 1, sq.; Luc. VIII, 27, sq.)

Ὅθεν, εὐδήλου τοῦ λόγου τούτου τυγχάνοντος, ἑτέρας ὑποθέσεως ἐρευνήσωμεν ζήτημα[1] τὸ περὶ τῶν δαιμονιζομένων καὶ τῶν ἀποπνιγέντων χοίρων ἐν τῇ θαλάσσῃ καὶ τῶν φυγόντων αὐτόθεν συοφορβῶν. Μὴ ταρατλέτω δ' ὑμᾶς, ὅτι Ματθαῖος μὲν δύο δαιμονιζομένους λέγει, Μάρκος δ' ἕνα δαιμονιζόμενον· ὁ μὲν γὰρ Ματθαῖος δύο δαίμονας, οὐ μὴν ἀνθρώπους δύο δαιμονίζεσθαι λέγει· ὁ δὲ Μάρκος ἕνα μὲν ἄνθρωπον, πολλὰ δ' ἐν αὐτῷ δαιμόνια· ὡς εἶναι τοὺς μὲν δύο, οὓς λέγει Ματθαῖος, ἐξάρχους τινὰς καὶ χαλεποὺς δαίμονας, σὺν αὐτοῖς δὲ καὶ ἄλλα δαιμόνια πολιορκεῖν τὸν ἄνθρωπον. Ἢ τάχα ὁ μὲν τῆς ὑποστάσεως εἰσάγει τὸν ἀριθμὸν ἀνθρώπους λέγων δύο, ὁ δὲ Μάρκος τῆς οὐσίας πεπονθούσης κατηγορεῖ μὴ φροντίσας τοῦ ἀριθμοῦ. Καὶ γὰρ τοιαύτην πολλάκις ὁ κοινὸς τῆς ἐλευ- Fol. 32, r°.
θερίας λόγος ἔχει συνήθειαν· ἀμέλει γοῦν σώζοντος τοῦ ποιμένος τὸ ποίμνιον, ὅτε μὲν ἐπὶ τῆς οὐσίας λέγει· ὁ ποιμὴν ἐπιμελῶς διασώζει τὸ πρόβατον· καὶ τοῦτ' εἰπὼν οὐχ ἓν λέγει· πολλὰ γὰρ τῷ ἀριθμῷ· ἀλλ' ἐπεί, κἂν πολλὰ τυγχάνῃ[2] τὰ πρόβατα, μίαν τῆς φύσεως τὴν οὐσίαν κέκτηται, πρόβατον[3] λέγει τῷ τῆς οὐσίας λόγῳ· ὅτε δ'· ὁ ποιμὴν διασώζει τὰ πρόβατα, τῷ λόγῳ τοῦ ἀριθμοῦ. Λέγεται δὲ καὶ ἄλλως ἐκ συνηθείας ἐνικῶς τὸ πληθυντικόν· ἀπήντησεν ὁ βάρβαρος τῷ βασιλεῖ, ἀντὶ τοῦ οἱ βάρβαροι ἢ τὸ βάρβαρον ἔθνος· καί· συνήγαγεν ὁ βασιλεὺς τὸν στρατιώτην, ἀντὶ τοῦ τοὺς στρατιώτας· καὶ μυρία ἄττα τούτων ἔστιν εὑρεῖν ἀδελφά. Ὅθεν οὐ χρὴ περιτλῶς τούτων ἕνεκεν ἡμᾶς κατατρίβεσθαι, εἰ ὁ μὲν ἕνα, ὁ δ' εἶπεν δύο δαιμονῶντας εἶναι· ὁ μὲν γὰρ, ὡς ἔφην, τὴν οὐσίαν ἐμήνυσεν, ὡς ἀνθρωπεία φύσις ἦν ἡ τυραννουμένη· ὁ δὲ τὴν ὑπόστασιν, ὡς οὐχ εἷς, ἀλλὰ δύο τὸν ἀριθμὸν ἐτύγχανον.

Λοιπὸν ἀνάγκη ζητεῖν πῶς οἱ δαίμονες πολλοῖς ἤδη χρόνοις τὸ λογικὸν ἀμέτροις βασάνοις δαμάσαντες, θεότητος ἀκτῖνι τὴν οὐσίαν φλεγόμενοι, εἰς τὴν ἄβυσσον ἀπελθεῖν παρητήσαντο[4], καὶ τίνος ἕνεκεν τῇ παρακλήσει τούτων

[1] In ext. marg. περὶ τῶν δαι|μονιζομένων.— [2] Pr. l. τυγχάνει. — [3] πρόβατα. In ext. marg. ἴσ (sc. ἴσως) πρόβατον a rec. manu. — [4] παρ- ετηρήσαντο. In ext. marg. ἴσ (sc. ἴσως) παρητήσαντο; deinde lin. transf.

εἴξας ὁ Χριστὸς ἐπέτρεψεν εἰς οὓς ἠξίωσαν ἀποπεμφθῆναι χοίρους; Δεινῶς οἱ δαίμονες, οἶμαι, τῷ πυρὶ χωνευόμενοι[1], ὅπερ ἐκ τῆς ὁπλασίας τοῦ Σωτῆρος
2. v°. ἔλαμψεν, ἐγλίχοντο παντοίως τῇ θέρμῃ πυρέτλοντες δραμεῖν εἰς τὰ ὕδατα καὶ τὴν ἐπικειμένην[2] αὐτοῖς παραμυθήσασθαι[3] φλόγωσιν[4]. Ἐπεὶ δ' ἀσώματοι τὴν φύσιν ὑπάρχοντες οὐχ οἷοί τε[5] γυμνοὶ τῇ τῶν ὑδάτων ἐμβῆναι κολυμβήθρᾳ, ἐπιβάθραν τῶν χοίρων τὴν ἀγέλην ἐζήτησαν, ἵνα δι' αὐτῶν εἰσελθόντες τὸν καύσωνα λύσωσι. Πανούργως[6] δ' οἱ δαίμονες οὐχ ἑτέρων βοσκημάτων ζητοῦσιν ὀχήματα, ἀλλὰ τῶν ἀπηγορευμένων[7] ἐν νόμῳ μωσαϊκῷ, τῆς νομοθεσίας τὸ γράμμα τιμᾶν σχηματιζόμενοι τὸ καταφρονούμενον ὑπὸ τῶν οἰκούντων τότε τὴν Παλαιστίνην. Μὴ δ' ὑποτοπάσῃς Ἰουδαϊκὴν εἶναι τὴν ἀγέλην τῶν χοίρων, ἀλλὰ στρατοπέδων ῥωμαϊκῶν τῶν ὑπὸ τοῦ αὐτοκράτορος πόλεις τῆς ἀνατολῆς λαβόντων, ὡς Ῥωμαῖοι λαλοῦσιν, εἰς σέδετον[8]· σπεῖραι γοῦν τότε καὶ τάξεις ῥωμαϊκῆς δυνάμεως τὰς ἐπαρχίας τῶν Ἰουδαίων σπουδὰς ἐχόντων πρὸς Ῥωμαίους κατῴκησαν. Ἀπὸ γὰρ Αὐγούστου τοῦ πᾶσαν τὴν οἰκουμένην
33. r°. ἀπογραψαμένου καὶ Τιβερίου καὶ ἔτι τῶν χρόνων τούτων ἀνωτέρω, ὑπήκοοι Ῥωμαίοις ἐτύγχανον οἱ Ἰουδαῖοι καὶ ἡ χώρα τούτων πᾶσα ἦν ὑπόφορος· ἀμέλει τοι[9] Ἡρῴδην ὁ αὐτοκράτωρ χειροτονεῖ βασιλέα τῆς Ἰουδαίας τὸν υἱὸν Ἀντιπάτρου τοῦ Θεραπεύοντος ἐν Ἀσκάλωνι τὸ ἱερὸν τοῦ Ἀπόλλωνος καὶ Πιλᾶτον ἡγεμόνα καὶ δικαστὴν ἐκπέμπει, Ἕλληνα καὶ αὐτὸν ὄντα, καὶ τὰς ἐξουσίας δὲ πάσας κατὰ τῶν Ἰουδαίων Ῥωμαῖοι παρειλήφεσαν· ἔκπαλαι γὰρ αὐτοῖς διὰ τὰς κακίας ὁ τῆς δουλείας ζυγὸς ἐπεκρέματο. Ὅθεν κατ' ἐκεῖνο καιροῦ ῥωμαϊκῶν μὲν κτητόρων βοσκημάτων ἀγέλαι, ῥωμαϊκοὶ δ' οἰκονόμοι δεσπόταις ἀποκρινόμενοι ἐφιλοκάλουν τὰ κτήματα. Ὅμως οἱ δαίμονες ἐχθροὶ καὶ ἐκδικηταὶ τοῦ νόμου τυγχάνοντες, φλεγόμενοι, τοὺς χοίρους εἰς τὸ ὕδωρ ἀπήνεγκαν.

Ἐπεὶ δ' ἐρωτᾶν ὡς ἀγνοοῦντα τὸν Χριστὸν[10] ὁ Μάρκος ἱστόρησε λέγοντα τί ὄνομα τῷ δαίμονι, οὐκ ἀγνοῶν ὁ Χριστὸς τίς ὁ δαίμων λέγεται ἐξετάζει τὸν βδελυρόν· ἀλλ' ἵν' αὐτὸν ἐκ τῶν οἰκείων ἐλέγξῃ ῥημάτων, ὡς ἀποστάτης γέγονε τῆς ἄνω βασιλείας, λέγει· « Τί σοι ἦν ὄνομα; » ὁ δ' ἀπεκρίθη « Λεγεών. » Οὐ γὰρ ὑπῆρχε τότε, ἀλλ' ἦν ποτε λεγεών, δορυφοροῦσα τῆς ἄνω βασιλείας τὸ
Matth. xxvi, κράτος, κατὰ τὸ γεγραμμένον « [a]Ἢ οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παρστήσει μοι δώδεκα λεγεῶνας ἀγγέλων. » Ἐδραπέτευσε δ' ἡ λεγεὼν ἐκείνη καὶ τῷ τῆς ἀποστασίας ἐνεκυλίσθη κακῷ, κρυπτηρίαν ἐξ εὐχερείας

[1] χονευόμενοι. — [2] Pr. l. ἀπο κειμένην. — ἐπικειμένην, ἐπὶ superscr. pall. atr.; ἀπο mansit. — [3] παραμυθίσασθαι. — [4] Pr. l. φλώγωσιν; ο superscr. — [5] οὔτε. — [6] Cod. ante voc. et supra duas lin. — [7] In ext. marg. περὶ τῶν χοίρων pall. atr. — [8] σέδεθρον. — [9] τὸν. — [10] In ext. marg. τὸν Χριστὸν, comp. pall. atr.

εὑροῦσα τὸν ἄνθρωπον, ῥίψασπις ὄντως καὶ δύσληνος λεγεὼν, οὐ λεγεὼν, ἀλλὰ λῃσλὴς, τὸν περίγειον ἐκδύων τόπον καὶ ληϊζόμενος καὶ τοὺς ἀλόντας ἀνηκέσλοις ὑποβάλλων ταῖς συμφοραῖς. Ἵν' οὖν ὁ Χρισλὸς ὁποίας λειτουργίας ἡ λεγεὼν ἀπέπεσε διδάξῃ τοὺς ἀκροωμένους[1], λέγει « Τί σοι ὄνομα; » ἵν' οὐκ αὐτὸς μάθοι (ἤδει γὰρ), ἀλλ' οἱ παρόντες. Σπρεβλούμενοι γὰρ οἱ δαίμονες ἱκα-
Fol. 33. v°. νῶς, ἵν' ἐλέους τύχωσιν, εἰς τὴν ἀρχαίαν τῆς τάξεως ὀνομασίαν κατέφευγον, ἵν' ὥσπερ βασιλέα πολὺν καὶ φιλάνθρωπον ὑπομνήσωσι τῆς παλαιᾶς σπρατείας τὸ εὔνουν μονονουχὶ λέγοντες· « Ἡμεῖς ποτε λεγεών· ἡμεῖς τῆς σῆς ἀδεκάσλου δυνάμεως ὁπλῖται· τῆς κατασλάσεως ἐκείνης, ἣν εἴχομέν ποτε, μνημονεύσας ἐλέησον, καὶ μὴ πέμψῃς εἰς ἄβυσσον· ἡμεῖς σὴ λεγεὼν, νῦν δὲ κακίας λῃσταί· ἐλειτουργοῦμέν ποτε, νῦν δὲ ληϊζόμεθα· ἐγγὺς ἀνακτόρων σῶν ποτε διετρίβομεν, νῦν δὲ τῶν καταχθονίων ἐγγὺς γεγενήμεθα· τότε μὲν γὰρ ἐν καθαρᾷ ᾠκοῦμεν περιωπῇ, νῦν δ' ἐν Φορυτῷ[2] καὶ πηλῷ κατεσπάρημεν[3]· ἄξιον ἀξιοῦμεν λαβεῖν μονητήριον, ἵνα μὴ τοῖς λογικοῖς ἀπὸ τοῦ νῦν ὀχληθῶμεν[4]· ἐν γὰρ τῇ ποινῇ τῆς δυσωδίας γενόμενοι, τὸ χαῖρον τῇ δυσωδίᾳ ζητοῦμεν εἰς ὄχημα· εἰς χοίρων ἀγέλην ἀπελθεῖν ἱκετεύομεν χώρας ἀφθόρου δικαίως ἐκριφέντες· οὐ προβάτων ἀγέλας, οὐδ' ἵππων, οὐδὲ βοῶν λαβεῖν σπουδάζομεν (ταῦτα γὰρ τὰ ζῶα καθαρὰ καὶ ἀμύσακτα) ἀλλὰ χοίρων ὑπόσμων καὶ ἀτάκτων ἄθροισμα, ἵνα καὶ τοὺς ἐνοίκους τῷ πραχθέντι παιδεύσωμεν καὶ τῆς σΦῶν βδελυρίας τὴν ἔξιν γυμνάσωμεν. Φοβηθήσεται γὰρ πᾶς ᾧ ὁ νοῦς ἔρρωται καὶ Φρόνησις ὑγιὴς, χοιρώδη πολιτείαν καὶ ῥυπαρὰν μιμήσασθαι, μαθὼν ὡς δαίμονες τὸν τοιοῦτον εἰς τὸν τῆς ἀπωλείας βυθὸν συναρπάζουσι· γνώσεται δ' ἄλλως τὴν ἡμετέραν
Fol. 34. r°. ἐκ καχεξίας τροπὴν, καὶ προαίρεσιν ὁμοίαν οὐ ζηλώσει κτήσασθαι. Ἵν' οὖν ἐσόμεθα τῷ βίῳ μνημόσυνον καὶ παράδειγμα μέγα καὶ κοινὸν παιδευτήριον, δὸς ἡμῖν ξεναγοὺς[5] τοὺς χοίρους εἰς Θάλασσαν, ἵνα μάθωσιν πάντες, ὡς οὐδὲ τῶν Φαύλων κρατεῖν τὴν ἐξουσίαν ἔχομεν, εἰ μὴ κελευσθῶμεν καὶ Θείου πνεύματος ἐπιτροπὴν λάβωμεν, ἵν' ἐντεῦθεν κόσμος ὅλος ἡμῶν καταΦρονήσῃ, ὡς μηδὲ κατὰ χοίρων ἡγεμονίαν ἐχόντων μηδὲ τῶν ἀπειλημμένων ἐν χώρᾳ βοσκημάτων ὑπὸ τὴν ἡμετέραν πεσόντων τυραννίδα. » Ταύτης ἕνεκεν, οἶμαι, τῆς σοΦῆς πραγματείας, οὐκ εἰς ἄβυσσον ὁ Σωτὴρ ἐκπέμπει τοὺς δαίμονας ἀλλ' εἰς ἀγέλην χοίρων καὶ δι' αὐτῶν εἰς Θάλασσαν, ὠΦελῶν ἕκασλα καὶ παιδεύων αἰσίως, Φανερὸν μὲν ἀνθρώποις τὸ τῶν δαιμόνων ποιῶν κολασλήριον, Φανερὸν δὲ παίδευμα τοῦ μὴ βοσκήματός τινος βίον ζηλῶσαι ῥυπαροῦ. Εἰ γὰρ εἰς τὴν

[1] In ext. marg. comp. σημείωσαι. — [2] Post Φορυτῷ, spat. vac. sex litter. — καὶ δυσώδει ab hod. manu. — [3] In ext. marg. ἴσ (sc. ἴσως) κατεπαρ. a rec. manu. — [4] ὀχλήσωμεν. — [5] Cod. in textu ξεναγμοὺς; in ext. marg. ξεναγοὺς a rec. manu.

ἄβυσσον, ὡς φησ, τούτους ἐξέπεμψεν, ἄδηλον μὲν ἑκάστῳ διὰ τὸ ἀόρατον, ἀμφίβολον δὲ διὰ τὸ ἀκατάληπτον, ὕποπτον δὲ διὰ τὸ ἀσώματον· ὑπενόησε γὰρ ἄν τις ὡς οὐκ εἰς ἄβυσσον τοῦ Χριστοῦ παρακούσαντες ἀπῆλθον, ἀλλ' εἰς πλησιοχώρους ἢ καὶ ὑπερορίους οἰκήτορας ἀνθρώπων, καὶ χειρίστην ἀποδράσαντες τὴν βλάβην εἰργάσαντο. Νῦν δ' οὐχ οὕτως, ἀλλ' εὔδηλον τοῖς πᾶσι κατέστη καὶ φανερὸν, ὡς εἰς τὴν θάλασσαν, τῶν χοίρων ἀπολομένων, εἰσῆλθον οἱ δαίμονες, τῆς ἀνθρωπίνης μονῆς ἐκχωρήσαντες. Καὶ δέξαι ταύτης τῆς ἱστο-
34. v°. ρίας χάριν ἱκανὴν τὴν ἀπόκρισιν.

CAPUT XII.

Solutio de dicto : Facilius est camelum per foramen acus transire, quam divitem intrare in regnum cœlorum. (Matth. XIX, 24; Marc. X, 25; Luc. XVIII, 25.)

Ἑτοίμως[1] δὲ καὶ τῆν ἐξῆς ϖεῦσιν ἀποδέχεσθαι τὴν ϖερὶ τοῦ « Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς ϖλωχοῖς καὶ ἕξεις Θησαυρὸν ἐν οὐρανοῖς. » Ἄνωθεν δέ σοι τοῦ ϖράγματος ἐρῶ τὸ διήγημα· ϖλούσιός τις τῷ Χρισ|ῷ ϖροσελθὼν, σχήματι μὲν σεμνῷ, γνώμῃ δ' ἀγκύλῳ καὶ οὐκ ὀρθῇ, καμπύλως διελέγετο Φάσκων· « Τί ϖοιήσας ζωὴν αἰώνιον κληρονομήσω; » ὅδε ϖρὸς αὐτὸν οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς ϖατὴρ εὔνους ἠπίως ἀπεκρίνατο λέγων· « Τήρει τὰς ἐντολάς· καὶ ζωὴν μὲν αἰώνιον [ἕξεις]· » τὰς ἐντολὰς ὑπάρχειν ὑΦηγεῖτο ϖροπαιδαγωγῶν αὐτὸν διὰ τῶν ἐντολῶν εἰς ἄκραν ϖεριωπὴν, εἶτα διὰ τοῦ ϖλούτου εἰς αὐτὴν εἰσάγων τὴν βασιλείαν τῶν οὐρανῶν, εἴ γε Φιλοσοφώτερον τὸ κρεῖττον ἀτενίσας αὐτίκα καταλλάξει[2] τὸ βραχὺ τοῦ μείζονος καὶ τὸν σωρὸν τῶν Φθαρτῶν, ἵνα λάβῃ τὸ ἄΦθαρτον, μετρήσει τοῖς ϖένησιν. Οὐδὲ γὰρ, ὡς αὐτὸς Φὴς, ὁ ϖλοῦτος τὸν ϖλούσιον τῆς βασιλείας ἀπέκλεισεν, ἀλλὰ τοὐναντίον εἰσῆγεν, εἰ τοῦτον νήψας καλῶς ᾠκονόμησεν. Ὥσπερ γὰρ σ|ρατιώτης εὖ καὶ καλῶς τῇ ϖαντευχίᾳ χρώμενος ἔνδοξος δι' αὐτῆς καὶ λαμπρὸς καὶ ἐπιΦανὴς, δι' αὐτῆς[3] εἰς βασιλέα σεμνῶς εἰσπορεύεται, δι' αὐτῆς εἴσω τῶν ἀνακτόρων λάμπει, δι' αὐτῆς ἐπίσημος ἀρχοντικαῖς δυνάμεσι, δι' αὐτῆς τὸ ἄμαχον ἐν ταῖς ϖόλεσιν ἔχει·
Fol. 35, r°. ἂν δὲ κακῶς διάθηται[4] καὶ μὴ δεόντως βασ|άσῃ, δι' αὐτῆς ϖᾶσιν ἀλώσιμος τοῖς ϖολεμίοις γίνεται, δι' αὐτῆς δ' ὡς ἐπίβουλος τῶν ϖεριβόλων ἐκβάλλεται, δι' αὐτῆς λάΦυρον τῶν ἐχθρῶν ἀγώγιμον, δι' αὐτῆς ἀκαθοσίωτος ὀΦθεὶς ἐξορίζεται, δι' αὐτῆς τιμωρούμενος τῆς ζωῆς ἀποτέμνεται, καὶ οὐδεὶς τὴν ϖανοπλίαν ὧδε καταιτιᾶται, ἀλλὰ τὸν οὐ καλῶς τῇ ϖανοπλίᾳ χρησάμενον. Ὥσπερ οὐδεὶς ἰδὼν ἐν ϖαντευχίᾳ τινὰ διαλάμποντα τὴν ϖαντευχίαν λέγει τούτῳ τὴν δόξαν ϖοιεῖν, ἀλλὰ τὴν σπουδὴν τοῦ χρωμένου τοῖς ὅπλοις, οὐδεὶς οὖν ἕξιν τινὸς ἢ σχέσιν νοῦν ἔχων ἐγκωμιάζει ϖοτὲ, ἀλλὰ τὸν κεκτημένον, εἰ σοΦῶς ἀποκέχρηται, ἐπεὶ μηδὲ γραμματικὸν ἢ ῥητορικὸν[5] ἄνδρα [γραμματικὴ ἢ ῥητορικὴ[6]] ἢ

[1] In ext. marg. *ϖερὶ τοῦ|ϖωλῆσαι τὰ|ὑπάρχοντα, |καὶ ἕξειν Θη-|σαυρὸν ἐν οὐρανῷ.* — [2] *καταλλάξοι.* — [3] *καὶ δι' αὐτῆς*; *καὶ* plene scriptum, erasum aliquid. — [4] Cod. in textu *ὑποθήται*; in ext. marg. *διάθηται*, a pr. manu *ἢ καὶ ἀπόθηται* a rec. manu. — [5] In textu *ῥητικὸν*; in ext. marg. *ῥητο|ρικὸν.* — [6] Hæc verba in codice omissa sunt.

λιθοξόον τινὰ λίθος ἀπεκόσμησεν, ἀλλ' ὁ τεχνίτης τὴν ὕλην ἐπισ|ημόνως ξέσας λαμβάνει τὸν ἔπαινον, καὶ γραμματικὸς τὴν γραμματικὴν ἐπιπόνως μελετῶν ἐπίσημον τὴν ἕξιν τῆς ἐπισ|ήμης ποιεῖ, καὶ ῥήτωρ ὁμοίως καὶ τέκτων καὶ ἰατρός· εἰ δὲ τοὐναντίον τῆς οἰκείας ἐπισ|ήμης ἕκασ|ος ὀλιγωροίη, καὶ διὰ τὴν ἀμέλειαν εἰς τὸν τῶν ἀμούσων χορὸν ἀπονεύσειεν, οὐ τὴν λογικὴν ἢ τὴν πραγ- 5
ματικὴν τέχνην αἰτίαν τῆς τούτων ἀδοξίας κρίνομεν, ἀλλὰ τὴν ἀμέλειαν ἑκάσ|ου καὶ καταφρόνησιν· καὶ πλοῦτόν τις ἔχων καὶ καλῶς οἰκονομῶν μέτοχος οὐρα-
νίου βασιλείας γίνεται, κακῶς δ' ἀποχρώμενος ταύτης ἀποκλείεται καὶ τοῦτο
35, v°. πάσχει οὐκ ἀπὸ τοῦ πλούτου, ἀλλ' ἀπὸ τῆς οἰκείας μοχθηρίας εὐλόγως. Οὐδὲ γοῦν[1] τῇ πενίᾳ τις μὴ δεόντως ἐγκαρτερῶν δι' αὐτὴν ἐπαινετός· πολλοὶ γὰρ 10
πένητες, καὶ οὐ πάντες ἐπαινετοὶ, ἀλλὰ διὰ τὴν ἰδίαν ἕκασ|ος εἰκότως ἐπισ|ήμην· οὐδὲ γοῦν ὁ πλοῦτος τὸν πλούσιον ἔβλαψεν, ἀλλ' ἡ οὐκ ἀσ|εία τοῦ πλουσίου προαίρεσις τὸν πλοῦτον ἀνόνητον ἔδειξε καὶ ἀνωφελῆ· οὐδ' ἡ πε-
νία τὸν πένητα εἰς οὐρανὸν ἀνήγαγεν, ἀλλ' ἡ γνώμη τοῦ πένητος ψυχωφελῆ τὴν πενίαν γενέσθαι παρεσκεύασεν· ἡ γὰρ τῆς καλοκαγαθίας ἀρετὴ καὶ διά- 15
θεσις κἂν πλουσίῳ κἂν πένητι λάμπει τὸ κατόρθωμα. Ὡς ἡ τοῦ Φαρμάκου δόσις μίαν ἔχουσα δύναμιν, κἂν τοῖς κάμνουσι δοθῇ κἂν τοῖς ὑγιαίνουσιν, οὐ μίαν τῶν λαμβανόντων τὴν ἕξιν ἐργάζεται, ἀλλὰ τῶν μὲν ἐπὶ τὸ χεῖρον με-
ταβάλλει τὴν αἴσθησιν, τῶν δ' ἐπὶ τὸ βέλτιον ἀνάγει τὰ σώματα, οὐ τῆς δυνάμεως τοῦτο ποιούσης τοῦ Φαρμάκου, ἀλλὰ τῶν λαμβανόντων ἀνόμοιον τὴν 20
πεῖραν ἐργαζομένων τῆς δόσεως διὰ τὴν ἀνόμοιον τῆς σωματικῆς συνθήκης ὑπόθεσιν, οὕτω λόγος ἀρετῆς εἷς ὑπάρχων καὶ ὁ αὐτὸς πολλοὺς μὲν πλου-
σίους εἰς τὸ κρεῖττον ἀνήγαγε, πολλοὺς δ' ἐπὶ τὸ χεῖρον καὶ τὸ φαῦλον ἀπή-
νεγκε, καὶ πένητας ὡσαύτως πολλοὺς μὲν Θεοῦ πρόσφυγας καὶ φίλους εἰργά-
σατο, πολλοὺς δὲ Θεοσ|υγεῖς καὶ μισητοὺς ἐποίησεν, οὐκ ἐξ οἰκείας αὐτοῖς 25
τοῦτο παρέχων δυνάμεως (οὕτω γὰρ ἂν εἷς ὑπάρχων ἢ πάντας ὠφέλησεν ἢ
36, r°. πάντας ἐζημίωσεν), ἀλλ' ἕκασ|ον ὡς εὗρεν ἔχοντα προαιρέσεως, καθὼς ἦν τις δεκτικὸς, τὰς ἐνεργείας παρέσχεν. Οὐδεὶς γοῦν δι' ἔρωτα βασιλείας οὐρανῶν τὸν πλοῦτον ἀπολέσας ἐν βίῳ κατῃσχύνθη αἰωνίῳ καὶ ἀγαθῶν[2] ἐκπεσὼν τῶν
οἰκείων τοῦ σκοποῦ διήμαρτεν· ἃ γὰρ εἶχε δοὺς, ἃ μὴ εἶχε ἔλαβε· γῆς ἀποθέ- 30
μενος φορτία δυσβάσ|ακτα, ἐλαφρὸν καὶ ἀβαρὲς κλέος ἀνεδέξατο.

Ἕνα γοῦν σοι χάριν ταύτης τῆς ὑποθέσεως πλούσιον ἀφηγήσομαι, τοὺς πολ-
λοὺς διὰ πλῆθος σιγήσας τῶν λέξεων, οἳ τὸν[3] ὧδε πλοῦτον ἀφορμὴν οὐρανίου πλούτου κατεδέξαντο· ὅμως παρεὶς τοὺς πολλοὺς, ἑνὸς μόνου μνησθήσομαι·

In ext. marg. περὶ πένητος, a rec. manu. — [2] αἰωνίου καὶ ἀγαθῆς. — [3] τῶν.

ἔσται γὰρ καὶ ὁ εἷς τῶν πολλῶν ἔλεγχος καὶ κατήγορος[1]. Ὁ τλήμων ἐκεῖνος καὶ κακοπαθὴς ἀνὴρ, ὃν πάντως ἀκήκοας ἐν σιήλῃ γράμματος ἁγίου Θρυλλούμενον[2] τὸν τῆς ἀνατολῆς τοπάρχην τὸν καλούμενον Ἰὼβ, ὃς πλούσιος μὴν ἦν καὶ τῶν κατ' αὐτὸν πρῶτος καὶ οὐ δεύτερος, ὃς ψυχῇ μὲν ὀρθῇ τῆς μονάρχου δυνασιείας τὸ σκῆπτρον ἐθεράπευσεν, ἀδιασιρόφῳ δὲ βουλευτηρίῳ λογισμῶν τὴν ἡγεμονίαν ἐδυσώπει τοῦ κρείττονος, ἀνόθῳ δὲ καλοκαγαθίᾳ τὴν πολιτείαν ὕψωσεν, ἀμέμπτῳ δὲ βίῳ τὴν ζωὴν ἐμεγάλυνεν, ἔργῳ καὶ λόγῳ πράττων ἐφ' ἑκάστης τὸ δίκαιον, καὶ πλοῦτον ἔχων ὡς μὴ ἔχων ἐταπεινοφρόνησε νύκτωρ καὶ μεθ' ἡμέραν, οὐ πωλῶν τὰ ὑπάρχοντα καὶ κατακερματίζων[3] κατὰ βραχὺ τοῖς πένησιν, ἀλλὰ τὴν οὐσίαν αὐτῶν τῶν ὑπαρχόντων δωρούμενος καὶ τῶν δεομένων
Fol. 36, r°. ἀφθόνως τοὺς κόλπους ἀναπληρῶν, τοῦτο μὲν πόκοις οἰείοις[4] τοὺς γυμνοὺς ἀμφιεννὺς, τοῦτο δὲ ψωμὸν, ὃν ἤσθιεν, οὐ γὰρ ἄλλον, ἀλλ' ἐξ αὐτῆς ἐπεδίδου τῷ πεινῶντι τραπέζης, τοῦτο δὲ κοινὸν τοῖς ξένοις νομοθετῶν ὑπάρχειν τὸ οἴκημα, τοῦτο δὲ τοῖς ἀδυνάτοις ὡς εἷς αὐτῶν φιλικῶς συμπαρακαθήμενος καὶ τὰς ὀδύνας αὐτῶν ἀπολοφυρόμενος καὶ τέλος τῆν πᾶσαν οὐσίαν ἀποβαλὼν διὰ πόθον αἰωνίου ζωῆς καὶ ἀπόλαυσιν καὶ πάντα φροῦδα δικάσας τοῦ βίου τὰ κτήματα διὰ τὴν ἀκήρατον ἐν οὐρανοῖς οἴκησιν τὴν κοπρίαν ἠγάπησεν· ἀποθέμενος τὸν πλοῦτον καὶ τὰς σηπεδόνας ὡς χρυσὸν ἐψηλάφα καὶ ὡς πολυτίμους μαργαρίτας ἔβλεπε τοὺς σκώληκας· ὑπὲρ πᾶσαν βασιλικὴν ἁρωμάτων ἀποφορὰν τὴν δυσωδίαν ἠγάπησεν (ἦν ἡδὺ τούτῳ καὶ γλυκὺ μονητήριον τῆς κοπρίας τὰ ἔσχατα), καὶ τοῦτον οὔτε πλοῦτος τῆς βασιλείας ἀπέκλεισεν, οὔτε πενία τῆς κατὰ Θεὸν ἀρετῆς ἀπέσπασεν (ἀλλὰ κἂν πλούτῳ φιλόθεος κἂν πενίᾳ φιλάρετος· καὶ πλούσιος ὢν ἐπλούτει ταῖς ἀρεταῖς καὶ πένης γενόμενος ἐφίλει τὸν κτίσαντα), τούτῳ[5] καὶ πενία τὸν πλοῦτον ἐγέννησε, καὶ πλοῦτος τὴν κατὰ Θεὸν δόξαν ἐμεγάλυνε εὐλόγως θελήσαντι (τῷ γὰρ θελήματι αὐτοῦ καὶ πλοῦτος ἐδούλευσε καὶ πενία ὑπήκουσεν), οὗτος ἐν πενίᾳ τὴν κακίαν ἐνίκησε κἂν πλούτῳ τῆς ὑπερηφανίας τὴν ὀφρὺν ἐταπείνωσεν, οὗτος ἐν ἀσθενείᾳ τὴν
Fol. 37, r°. δυνασιείαν τῶν πειρασμῶν ἐξέλυσε κἂν πλούτῳ τοὺς πειρασμοὺς τῶν παθῶν ἐτροπώσατο, οὗτος ὤφθη κἂν πλούτῳ κἂν[6] πενίᾳ εὐάρεστος πρὸς Θεόν· διὰ τοῦτο τὰς πληγὰς τῶν ἀντιπάλων ἐν τῇ δορᾷ τῆς σαρκὸς βασιάσας ἀνενδότως βραβεῖον ἔλαβε καμάτων ἀοίδιμον· διὰ τοῦτο γενναίως πρὸς τὴν ἐπικειμένην τοῦ Βελίαρ φάλαγγα τοῖς ὀσιράκοις μαχόμενος τὴν ἀσώματον τῶν πνευμάτων καθεῖλε παράταξιν· ἐκεῖνος ἐν τῇ κοπρίᾳ διὰ πενίαν οἰκῶν εὐσεβείας περι-

[1] In ext. marg. περὶ τοῦ ἰὼβ a rec. manu. — [2] Θρηλλούμενον. — [3] In textu κατεργάζων; in ext. marg. κατακερματίζων a rec. manu. — [4] ὀείοις. — [5] In textu τοῦτο; in ext. marg. τούτῳ ἴσ (sc. ἴσως). — [6] καὶ.

βλεπτον ἐδείματο πύργωμα· ἐκεῖνος σωματικῆς εὐωδίας ἐκπεσὼν, ἐν δυσωδίᾳ καθίσας[1], τῆς ἀθανασίας τὴν εὐωδίαν ἀνέπνευσεν, καὶ πλούσιος γενόμενος ἐτύγχανεν εὐγενὴς καὶ πένης γενόμενος πάλιν εὐγενέστερος.

Μὴ γοῦν νομίσῃς[2] ἀπολύτως εἰρηκέναι τὸν Κύριον « Εὐκοπώτερόν ἐστι κάμηλον διὰ βελόνης εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Εὑρίσκονται γὰρ πολλοὶ τῆς βασιλείας ἐντὸς γινόμενοι πλούσιοι, ἀλλὰ μετ' αἰτίας[3] ἔξω τῶν οὐρανῶν ἐκβάλλει τὸν πλούσιον, λέγων· « Δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελεύσονται. » Οἱ γοῦν ἔχοντες καὶ μὴ[4] μεταδίδοντες μηδὲ τοῖς μὴ ἔχουσι συμπαθῶς κοινωνήσαντες, ἀλλ' εἰς οἰκείαν μόνην τῆς ζωῆς ἀπόλαυσιν τὸν πλοῦτον περιγράψαντες καὶ μηδέποτε πλωχοῖς φιλικῶς ὁμιλήσαντες μηδὲ πενίαν οἰκτρὰν παραμυθησάμενοι μηδέ τινων ἔνδειαν ὀδυρομένων κουφίσαντες, ἀλλὰ τῶν ἐλεεινῶν ἀποστραφέντες τὴν
37, v°. ἔντευξιν, καὶ τῶν καταφρονουμένων τὰς ἀγηδόνας ὡς ἄγος ἐκκλίναντες, οὗτοι τῆς βασιλείας τῶν οὐρανῶν εἰσιν ἀλλότριοι. Οὐδεὶς ἄνευ συνηγόρων βλέπει δικαστήριον, οὐδεὶς βασιλέζων κατηγορίας ὑπώπια ἐπὶ βήματος ἄνεισιν, οὐδεὶς ἐγκλημάτων εἴδη περικείμενος ἐμφανίζεται βασιλεῖ, οὐδεὶς ἐσπιλωμένος εἰς ἑορτὴν ἀπαίρει, οὐδεὶς μετὰ φορτίων εὐωχίαν εἰσάγει, οὐδεὶς εἴσω βασιλείων ὑπονοίας φέρων σημεῖα τυραννικῆς· συνήγοροι τῶν πλουτούντων τυγχάνουσι πένητες, ἄνευ τούτων ἐπὶ Θεοῦ ὁ πλοῦτος ἀνωφελής· σημεῖα κακίας ὑπάρχει καὶ δεῖ ταῦτα ῥίψαι καὶ τυγχάνειν ἐλεύθερον· ἐγκλημάτων ὑπόνοιαν ἡ ὕπαρξις ζωγραφεῖ, ταύτην οἰκονομικῶς ἀποθέσθαι βέλτιον καὶ μετὰ παρρησίας θεραπεύειν τὸ θεῖον· σπῖλοι καὶ ῥυτίδες τὰ τῆς περιουσίας τοῖς ἀνθρώποις ἐγγίνεται, καὶ χρὴ ταυτὶ σκορπίσαι λογισμῷ καλλίονι κἀπὶ τὴν μακαρίαν ἑστίαν ἐπείγεσθαι· φορτίον ἐστὶ βαρὺ τῶν κτημάτων ἡ φυλακὴ, καὶ δίκαιόν ἐστι τὸ βάρος ἀποσείσασθαι καὶ βαδίζειν εὔζωνον εἰς τὴν ἄνω πανήγυριν· κατήγοροι πλεονεξίας τὰ χρήματα γίνονται, καὶ λυσιτελὲς ταῦτ' ἀποβαλεῖν ἐν τάχει καὶ δίχα τούτων ἐλαύνειν εἰς βασιλείαν οὐρανῶν, εἴ γέ τις ὄντως πιστεύει τῶν ὁσίων βασιλείαν ἐν οὐρανοῖς ὑπάρχειν· εἰ δὲ μὴ πιστεύει, τί καὶ πολυπραγμονεῖ ἄνευ πίστεως εἰκῆ διαλεγόμενος;

[1] καθήσας. — [2] In ext. marg. comp. σημείωσαι. — [3] Tredecim litt. lacun.; in ext. marg. ἴσ (sc. ἴσως) πλοῦτος ὁ πόλυς, a rec. manu. — [4] In textu καὶ ·/. μετα|δίδοντες; in ext. marg. ·/. μὴ ἴσ (sc. ἴσως).

CAPUT XIII.

Solutio de dicto : Quarta autem vigilia noctis, venit ad eos, ambulans super mare. (Matth. xiv, 25; Marc. vi, 48; Ioh. vi, 19.)

Ἡμεῖς δ' ἐπὶ τοσοῦτόν σοι περὶ τοῦ πλουσίου τὸν λόγον αὐξήσαντες ἐπισυ-
Fol. 38, r°. νάψωμεν αὖθις ἐκεῖνο τὸ διήγημα πῶς[1] ἑσπέρας ὁ Χριστὸς προπέμψας τοὺς μαθητὰς ἐπὶ τῷ τῆς Θαλάττης περάσαι τὸ πέλαγος αὐτὸς[2] ἐπέσπη τῆς νυκτὸς τῇ τετάρτῃ φυλακῇ, καὶ χειμαζομένους αὐτοὺς ἐν τῷ σάλῳ κατέλαβε. Τετάρτῃ δ' οὐκ ἀπὸ τέλους φυλακῇ τῆς νυκτὸς αὐτοῖς ἐνεφάνισεν, ἀλλ' ἀπ' ἀρχῆς, τουτ- 5
ἔστιν ὥρᾳ τετάρτῃ τῆς νυκτός. Ἐὰν[3] δὲ, ὡς σὺ φῂς, βιασθῶμεν εἰπεῖν τὴν ἀπὸ τέλους, οὐδὲν λυμαίνεται τοῦτο τῷ ζητουμένῳ, εἴπερ ὁ Χριστὸς κατὰ τὸν ὄρθρον ὤφθη τοῖς ἀποστόλοις. Πρόκειται γὰρ[4] ἡμῖν ἐκεῖνο μόνον ζητεῖν, εἰ Θάλασσαν ἢ οὐ Θαλάσσης διέβησαν πέλαγος. Καὶ ὅτι μὲν, κἂν λίμνη ὁ τόπος 10
ἐτύγχανε, Θάλασσα τὴν ἐνεργείαν ὑπῆρχε καὶ πέλαγος, ὡς Θάλασσα μὲν κυμαινομένη[5] τοῖς πνεύμασι, ὡς Θάλασσα δὲ τῶν ἁλιέων τὰ σκάφη βαστάζουσα, αὐτόθεν ἔστι γνῶναι τοῦ λεγομένου τὸ σαφές· καταχρηστικῶς γὰρ πᾶσα συναγωγὴ ὕδατος ὀνομάζεται Θάλασσα, κἂν ἐκ ποταμῶν, κἂν ἐκ λιβάδων συνέστηκεν, ἤτοι παρὰ τὴν Θόλωσιν ἣν ἐκ τῶν ἀνέμων ὑφίσταται συνεχῶς ἢ τὴν Θολερὰν πόσιν τὴν γινομένην ἐν αὐτῇ, ἢ τὴν ἁλώδη Θέσει οὐ φύσει 15
τυγχάνουσαν.

Ταῦτα μὲν οὖν γραμματικῶν ἐτυμολογείτωσαν ἢ τεχνολόγων παῖδες· ἡμεῖς δὲ τοῦ πράγματος τὴν φύσιν ἰχνεύσωμεν, πόθεν μαθόντες ἢ παραλαβόντες οἱ τὸ εὐαγγέλιον γράψαι πεπιστευμένοι τὰς λίμνας οὐ λίμνας, ἀλλὰ Θαλάσσας ἔγραψαν. Ἢ γὰρ Θείῳ συγκινούμενοι λόγῳ καὶ δόγματι παρέντες[6] ἢ παρά 20
Fol. 38, v°. τινος πεπαιδευμένου τὸ τοιοῦτον μαθόντες Θάλασσαν γράφειν οὐ λίμνην ἠξίωσαν. Τί οὖν; ἤδη λεκτέον ἡμῖν τὸ ζητούμενον. Ὁ τοῦ κόσμου τὴν γένεσιν ἱστοριογραφῶν, Θεῖος μὲν ὄντως ἀνὴρ καὶ Θεοφορούμενος, πᾶσαν δ' ὁμοφύλων ὑπερβάλλοντι κάλλει φύσιν πλεονεκτήσας[7] σοφίας ἀεννάῳ[8] πηγῇ ποτιζόμενος, νάματι συνέσεως πολλῷ πιαινόμενος, ὁπηνίκα τὴν ἀκόρεστον τοῦ 25
κάλλους ἱστορίαν συνέγραφεν, ἐλθὼν κἀπὶ τῆς ὑγρᾶς οὐσίας τῇ διανοίᾳ τὸ

[1] In. int. marg. comp. σημείωσαι, a rec. manu. — [2] In textu πέλαγος ·/. ἐπέστη; in ext. marg. ·/. αὐτὸς, pall. atram. — [3] ἵνα. — [4] In textu προκεῖται ·/. ἡμῖν; in ext. marg. ·/. γὰρ, pall. atram. — [5] In textu κυμαινομένη; in ext. marg. ματουμένη. — [6] πάρεισιν. — [7] ἐπλεονέκτησε. — [8] ἀεννάως.

πάντων ὑδάτων σύστημα καὶ συνάθροισμα Θαλάσσας ὑπὸ Θεοῦ κεκλῆσθαι κατεπήκουσεν. Εἰ γοῦν τὸ μακάριον καὶ ἀοίδιμον[1] ὄντως στόμα τοῦ κτίσαντος, τὸ ἀθόλωτον κάλλος, τὸ ἀμάραντον ἀγαθόν, τὸ ἄναρχον καὶ μόνον ἔχον ἀθανασίαν, ἐν τῇ δημιουργίᾳ πᾶσαν συναγωγὴν ὕδατος ὠνόμασε Θάλασσαν, πῶς ἐτόλμων οἱ εὐαγγελισταὶ τοῦ δημιουργοῦ τὸν λόγον ἀκυρῶσαι καὶ λίμνην ὀνομάσαι[2] τὴν ἄνω προσαγορευθεῖσαν πρὸς τοῦ Θεοῦ Θάλασσαν; Ὅθεν ἐν νῷ τοῦ κτίσαντος τὸ δόγμα φυλάσσοντες Θάλασσαν καταχρηστικῶς τὴν λίμνην εἰρήκασιν.

Λοιπὸν ὧδε τὸ κείμενον πρεπόντως σκοπήσωμεν καὶ τοῦ Χριστοῦ τὸ θαῦμα συντόνως σκεψώμεθα, μὴ ταπεινότητι λέξεως τὴν ὑπέροπτον ἐκείνην ἱστορίαν λεπτύνωμεν, ἀλλ' ἴδωμεν ἐντεῦθεν τοῦ πράγματος τὸ ἀπόρρητον. Ἄρτι παραδόξοις τεραστίοις ὁ Ἰησοῦς τὴν γῆν κατασημηνάμενος (πέντε γὰρ χιλιάδας μηδὲ μέχρι ἑνὸς ψωμοῦ ζωῆς ἀφορμὴν σωματικῆς ἐχούσας, ὡς εἰς μεγαλόπολιν κατακλίνας τὴν ἔρημον, δαψιλεστάτοις[3] τροφῆς ὀψωνίοις ἐκόρεσεν, ἄφθονα χορηγήσας ὡς ἐξ ἀποθήκης τῆς οἰκείας δυνάμεως ἠρτυμένα τὰ βρώματα, καὶ πιστοποιούμενος τῆς εὐφροσύνης ἐκείνης τὸν λόγον ἐν ὄψεσι δώδεκα κοφίνους τῶν λειψάνων ἐπλήρωσε, καὶ ταῦτα τοὺς μαθητὰς ἀχθοφορεῖν ἐποίησε πρὸς τὸ τὴν ἀλήθειαν τοῦ γενομένου σημείου ἐκεῖθεν τοὺς παρόντας ἀνενδοιάστως ὁρᾶν) καὶ ταῦτα πράξας ἐπὶ τὴν Θάλασσαν ἔγνω μετάγειν τὰ θαύματα πρὸς τὸ κἀκείνην ἔργοις θείοις σημειώσασθαι. Ἐπειδὴ γὰρ τὴν ξηρὰν τοῖς παραδόξοις πεπλήγει καὶ τοὺς ἀνθρώπους ἐπ' αὐτῆς καλῶς πεφιλοφρόνητο, ἔγνω καὶ τὴν ὑγρὰν ἐμπλῆσαι τῆς χάριτος, κἂν ἐν τόπῳ Θαλάσσης κἂν ἐν λίμνης ὑπῆρχε, καὶ τοὺς μαθητὰς ἐπ' αὐτῆς καταπλῆξαι τοῖς τέρασιν. Ἔγνω γάρ, ἔγνω σαφῶς τὴν ἀνθρωπείαν φύσιν κρυφῇ διαφεύγουσαν καὶ λησταυούσῃ γλώττῃ τῷ τῆς ἀπαιδευσίας λόγῳ ψιθυρίζουσαν[4], « Ἆρ' ὁ τὴν γῆν, » λέγουσαν, « εἰς σημείων ἐργασίαν καταδουλωσάμενος ἔχει κἀν τῇ Θαλάττῃ τὴν αὐτὴν ἐξουσίαν ποιεῖν τὰ παράδοξα; ἆρ' ὁ σώζων ἐν ξηρᾷ καὶ τρέφων ἀκαμάτως τοὺς αὐτῷ παρεδρεύοντας δύναται[5] ἐν τοῖς ὑγροῖς πράττειν τὰ ἐξαίσια; » Διὰ τούτους εὐλόγως τοὺς περιττοὺς λογισμοὺς, οὐδέπω τῶν ἐν τῇ γῇ θαυμάτων παυσάμενος, τῶν Θαλατταίων κελεύθων ἐπιβαίνειν ἔσπευδε, καὶ τοὺς μαθητὰς προὔπεμπεν, ἵνα προλαβόντες καὶ χειμῶνος ἀγρίου ζάλην καταλαβόντες, ἐπιστήμῃ ναυτικῇ τὸν πλοῦν οὐκ
39, v°. ἀνύοντες, τῇ βίᾳ τῶν ἀνέμων πολλὰ μαχησάμενοι πᾶσαν ἀνθρωπίνην συμμαχίαν ἀρνήσωνται κἀπὶ τὴν βοήθειαν ἔλθωσι τὴν ἀσώματον. Τυπτόμενον γοῦν ἐκ πρώρας τὸ σκάφος αἰφνιδίου καὶ ῥαγδαίου πνεύματος ταῖς ὄψεσιν ἐπιτρέ-

[1] Prior lect. *αοί|μον*; poster. *ἀοίδη* (*δη* pall. atram.)|*μον*. — [2] *ὠνομάσαι*. — [3] *δαψιλεστάτης*. — [4] *ψηθηρίζουσαν*. — [5] In textu *δυνατοῖς*; in ext. marg. *ἴσ* (sc. *ἴσως*) *δυνατός*, pall. atram.

χοντος, παυομένης τε τῆς εἰρεσίας τῷ συρμῷ τοῦ κλύδωνος, ὑπεράντλου δὲ γυρηδὸν γινομένου τοῦ σκάφους, καὶ πρὸς τούτοις νὺξ ἀσέληνος καὶ βαθυτάτη σκιὰ τὴν ὄρασιν πνίγουσα ἀπογνῶναι τοὺς πλέοντας τὴν σωτηρίαν ἐποίει[1]. Πᾶσα γὰρ τῶν στοιχείων ἡ Φύσις οὐ μικρῶς ἐταράττετο, ἀγνοούμενον ὁρῶσα τὸν δημιουργὸν Λόγον, τῶν ἀνθρώπων χάριν γενόμενον ἄνθρωπον. Τότε γοῦν καὶ πλέον τοῦ δέοντος αἱ τῶν ἀνέμων ἐλύθησαν ἡνίαι, ἵνα τοὺς πλωτῆρας τοῖς φόβοις δαμάσαντες τὸν Χριστὸν ἐπάνω τῶν ὑδάτων περιεύοντα δείξωσιν, ὡς ἐν ἀκινδύνῳ λεωφόρῳ βαδίζοντα, ἵνα τοῦτον ἰδόντες τροχαλῶς ἐπιβαίνοντα τῆς ῥευστῆς οὐσίας καὶ[2] μὴ πονητιζόμενον εἰς ἔννοιαν ἔλθωσιν ὡς οὗτός ἐστι περὶ οὗ προφητικὴ δέλτος ἀνεβόησε λέγουσα, « Ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους, » ἵνα ἐκ τοῦ φανέντος τὴν προφητείαν νοήσωσιν. Ὁ γὰρ Ἰησοῦς κουφίσας τῇ θεότητι τὸν ὄγκον τοῦ σώματος ἐπάνω τῶν ὑδάτων ἐβάσταζεν ἄβροχον, μᾶλλον δὲ τῶν ὑδάτων τὴν ῥέουσαν οὐσίαν συνάξας ἐπύκνωσε[3] δίκην ἐστρωμένης ἐργασάμενος ἀτραποῦ. Ἦ γοῦν οὕτως ἢ οὕτως τῆς θαλάσσης ἐπιβὰς καὶ προφητείαν ἐπλήρωσε· καὶ θάλατται μὲν Θεὸν ἐν ἀνθρώπῳ νοήσασα[4] στερεοῖ τὰ νῶτα, καὶ βαστάζει τὸν κτίσαντα, καὶ τὴν Φύσιν ἀρνεῖται, οὐ φεύγουσα τὸν ὅρον, ἀλλ' ὑπηρετοῦσα παρὰ Φύσιν τῷ ποιητῇ. Ἄνθρωποι δὲ λογικοὶ μυρίων ἔργων ὁρῶντες ἐξαίσια σκληρότητι γνώμης τὸν Χριστὸν οὐκ ἐγίνωσκον. Ποιήσας οὖν τῷ πατρὶ τὴν μακαρίαν εὐχὴν καὶ, καθὸ ἄνθρωπος, δυσωπήσας λιπαρῶς, καθὸ Θεὸς, καταλαβεῖν τοὺς ἐν τῷ χειμῶνι κρατουμένους οὐ βραδύνει, ἀλλ' ἐπὶ τῶν ὑδάτων ἐλθὼν τὸ σκάφος ἐφόβησεν (ὁ μὲν γὰρ περιπατῶν ἄνθρωπος ἐφαίνετο, ξένον [δὲ] ἀνθρώπου τὸ πρᾶγμα τὴν ὑγρὰν οὐσίαν πεζεύων ἐδείκνυε[5]) πρῶτον γοῦν ὁ φόβος αὐτοὺς ἰσχυρὸς ἐκλόνησε, δεύτερον ἡ ὄψις οὐ μετρίως ἐτάρατε, καὶ τρίτον οἱ ἀγῶνες οἱ τοῦ πλοῦ κατεπόνουν. Λαλήσας δ' αὐτοῖς ἅμα τῷ λόγῳ τὴν ἐπικειμένην ἀπέσβεσε ταραχὴν, ὑπὲρ φῶς ἡλιακὸν τὴν ἀκτῖνα τοῦ ῥήματος πέμψας τοῖς ἀποστόλοις· εἰπὼν γάρ, « Ἐγώ εἰμι καὶ μὴ φοβεῖσθε, » ὡς νέφος τὴν ἐπελθοῦσαν αὐτοῖς καθεῖλεν ἀηδίαν[6] φάς· « Ἐγώ εἰμι ὁ πρὸ μικροῦ τὰς πέντε χιλιάδας ὑμῶν διακονούντων κορέσας τοῖς βρώμασιν, ἐγώ εἰμι ὁ καλέσας ὑμᾶς πότε θαλατεύοντας, ἐγώ εἰμι ὁ εἰπὼν ὑμῖν· Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων, ἐγώ εἰμι ὁ τῆς θαλάττης καὶ παντὸς στοιχείου τὰς ἡνίας κατέχων, ἐγώ εἰμι ὁ λιμώττοντας ὄχλους ἐπὶ γῆς δεξιούμενος καὶ τοὺς ἐν θαλάττῃ κινδυνεύοντας ἐλεῶν. »

Fol. 4o, r°.

[1] ἐπείη. — [2] In textu ρεύστῆς ·/. οὐσίας; in ext. marg. ·/. comp. καὶ pall. atram. — [3] ἐπίκνωσε. — [4] In textu Θεῷ ἐνανθρώπῳ νοήσα; in ext. marg. ἴσ (sc. ἴσως) Θεὸν ἐν ἀνθρώπῳ|νοήσασα a rec. manu. — [5] πεζεύων οὐ μετρίως ἐτάρατε ἐδείκνυε; infra οὐ μετρίως ἐτάρατε lin. eod. atram. — [6] Forsan ἀειδίαν.

Πέτρος δὲ θεασάμενος τὴν ὑγρὰν οὐσίαν ὅλως μὴ διαπίπλουσαν, τοῦ Σω-
, v°. τῆρος ταύτης ἐπάνω τροχάζοντος, κρύσταλλον πεπηγμένον αὐτὸ φανὲν, ἐδίκα-
σεν ἰσχυρῷ συνεχόμενον πνεύματι καὶ κρατούμενον· πιστεύων δ' οὐ γνησίως,
ἀλλ' ἐνδοιάζων[1] τῷ δισταγμῷ, καὶ τοπάζων εἶναι φάσματος τὰ λεγόμενα εἶ-
πεν· « Εἰ σὺ εἶ ὁ πρὸ μικροῦ μεθ' ἡμῶν ἐπαρκέσας τοῖς ἄλλοις, εἰ σὺ εἶ ὁ
λόγῳ πάθη κοιμήσας πολυχρόνια, ὁ πατρικὴν ἡμερότητα τοῖς δεομένοις δι-
δοὺς, εἰ σὺ εἶ ὃν ἡμεῖς ἐποθήσαμεν, δι' ὃν κόσμον ἐρρίψαμεν, κέλευσόν με
ἐλθεῖν πρός σε ἐπὶ τῶν ὑδάτων. » Ταῦτα δὲ προπετῶς καὶ ἀπαιδεύτως λέγων
τοῦ Εἰ παρ' αὐτὰ τὴν δίκην ἐδέξατο, τοῦ Εἰ τὴν ψῆφον οὐκ εἰς μακρὰν ἀπέλα-
βεν (ὁρῶν γὰρ τὸν δεσπότην ἐπάνω τῶν ὑδάτων ῥᾳδίως πεζεύοντα, ἀμφέβαλλεν[2]
εἰ αὐτὸς τυγχάνει τοῦτο ποιῶν, ὡς καὶ ἄλλου τινὸς ἐξουσίαν ἔχοντος περιπα-
τεῖν ἐφ' ὕδατος), ἐξ ὧν ἔλεγε τὴν χώραν ἀπένεμεν. Ὅθεν ὁ Σωτὴρ σφαλλόμε-
νον αὐτὸν ἐπιστρέψαι βουλόμενος καὶ νύξαι τῆς ἀπιστίας τὸ πάθος ἐν συντόμῳ
φησὶν « Ἐλθὲ, » ἵνα διὰ τοῦ Ἐλθὲ ἐλθεῖν μὲν ἐπάνω τῶν ὑδάτων οὐ δυνηθῇ,
ἔλθῃ δ' εἰς πίστιν ἀπιστῶν τῷ Μονογενεῖ· οὐ γὰρ ἀνθρώπῳ θέμις βαδίζειν
ἐφ' ὕδατος, οὐδ' ὁ προφήτης εἶπεν Οἱ περιπατοῦντες, ἀλλ' Ὁ περιπατῶν ἐπὶ
θαλάσσης, ἐνὶ προσμαρτυρῶν, οὐ πολλοῖς, τὸ ἐξαίσιον Θεοῦ τοῦτ' εἶναι, οὐκ
ἀνθρώπων ἴδιον τὸ θαυμάσιον. Ὅθεν πλαίοντα τὸν Πέτρον εἰς αὐτὸ τοῦ πράγ-
41, r°. ματος ἵν' εἴπω τὸ καίριον καιρίως ὁ Χριστὸς ἐντρέψας ἐπαίδευσεν ἀπιστήσαντα
πρῶτον ἐν τῷ λέγειν « Εἰ σὺ εἶ, » καὶ δεύτερον ἴσα Θεῷ ἐπάνω τῶν ὑδάτων
βαίνειν θρασυνόμενον καὶ τρίτον ψευδῆ ποιῆσαι βουλόμενον τὴν προφητείαν
τὴν λέγουσαν Ὁ περιπατῶν ἐπὶ θαλάσσης. Εἰ γὰρ ἦν καὶ Πέτρος περιπατῶν,
ἐψεύδετο φάσκουσα Ὁ περιπατῶν, καὶ μὴ Οἱ περιπατοῦντες. Ὅθεν ἀτάκτως
ἴσα τῷ δεσπότῃ τὸν δοῦλον νεανιευόμενον ἡ θάλασσα μικροῦ κατεπόντισεν,
ὁμόδουλον προπετῆ τιμωρήσασθαι[3] σπουδάζουσα, εἰ μὴ Χριστὸς οἶκτον λαβὼν
τοῦ κινδυνεύοντος, τάχιον κρατήσας τῆς χειρὸς ἀνεσώσατο γλώττης αὐτὸν
πηδαλίῳ σαθρῷ βυθιζόμενον, καὶ συνέπεισε[4] τοῦ λοιποῦ συγγενῆ τοῦ διαβόλου
λέξιν μὴ προτείνεσθαι. Ὡς γὰρ ὁ διάβολος ἀμφιβάλλων ἔλεγεν, « Εἰ σὺ εἶ ὁ
υἱὸς τοῦ Θεοῦ, » οὕτω Πέτρος ἀπιστῶν εἶπεν· « Εἰ σὺ εἶ, κέλευσόν με ἐπὶ τῶν
ὑδάτων ἐλθεῖν πρός σε, ἵνα πληροφορηθῶ[5]· » καὶ τὸ θαῦμα τῷ πράγματι
κατέχων ἀμφέβαλλε[6], καὶ τὸ σαφὲς ἐν ἔργοις βλέπων ἐνεδοίαζεν. Ἱκανῶς δ'
οὖν ὁ Χριστὸς αὐτὸν ὠφελῆσαι βουλόμενος, λέγει· « Ἐλθέ· εἴ σοι τὰ τῆς ὄψεως
πρὸς μαρτυρίαν ἡμετέραν ἀνίσχυρα, ἐπὶ τῶν ὑδάτων ἐλθέ· δι' αὐτῶν ἡμᾶς
εἶναι βεβαίως πειθόμενος, στερεὰν[7] ἐξ ὑγρότητος τὴν γνώμην ἀνάλαβε· τῶν

[1] ἐνδιάζων. — [2] ἀμφίβαλλεν. — [3] τιμωρήσαισε. — [4] συνέπεσε. — [5] πληρωφορηθῷ. — [6] ἠμφί-
βαλλε. — [7] στερρὰν.

ἀδυνάτων ἐρᾶς τὴν αὐτὴν ἐθέλων τῷ δημιουργῷ δυνασ|είαν ἀναλαβεῖν. Ἐλθὲ
Fol. 41, v°. ἐπὶ τῶν ὑδάτων, οὐχ ὁμοίως ἡμῖν τὸ κῦμα καταπατῶν, ἀλλ' ἀκίβδηλον ἐξ αὐ-
τοῦ δεχόμενος εἰς ἡμᾶς τὸν λόγον τῆς πίσ|εως. Ὦ Πέτρε, πολὺς ὁ ἀγὼν, καὶ
τετάρτης σοι χρεία φυλακῆς εἰς βοήθειαν· νὺξ μὲν ἀορασία, χειμάζει τὸ πέ-
λαγος, σοὶ δὲ τὸ τῆς ἀγνοίας νέφος ἐπικρεμᾶται· ἀφεγγεῖ βυθῷ τὸ σκάφος κε-
κλόνηται, σὺ δὲ πλέον τοῦ σκάφους τῇ ἀπισ|ίᾳ δεδόνησαι· ἐπιδρομὴ πνεύματος
σεσάλευκε θάλασσαν, σὲ δὲ μικρολογία προπετείας κραδαίνει. Ἐκ τετ|άρων [1]
σοι κράσεων ἡ συνθήκη τοῦ σώματος, καὶ τούτων ὁ λόγος οὐκ ἔχει τὴν ἕνωσιν
τῷ δισ|αγμῷ λυόμενος. Οὐκ οἶδας ὃ λέγεις· ὡς ἐν ὀνείρῳ λαλεῖς Φάσκων « Εἰ σὺ
εἶ. » Μή τις ἐνάλιος ὄφις ταῦθ' ὑπέθετό [2] σοι λαλεῖν; Ὢ πόσην [3] μεταβολὴν τὸ
βραχὺ τῆς ἡμετέρας ἀποδημίας εἰργάσατο! ὁ κορυφαῖος τῶν μαθητῶν ἀοράτῳ
πνεύματι τὴν ψυχὴν κυματίζεται, ὁ πρῶτος τῶν ἀποσ|όλων τῷ τῆς ἀπισ|ίας
βυθῷ [4] καταπίνεται. » Καὶ τῆς χειρὸς πρὸ τοῦ χεῖρον αὐτόν τι παθεῖν κρατεῖ
σεμνῶς. Ὡς γὰρ ἔοικε, διπλοῦν γέγονε τῷ Πέτρῳ ναυάγιον· τοῦ σκάφους μὲν
κατελθὼν τὸ σῶμα βαπ|ίζεται, ἡμῖν δ' ἀπισ|ῶν, τὴν ψυχὴν καταπίνεται·
ἀγνοίας μὲν πελάγει τὴν ψυχὴν βασανίζεται, ἐν θαλάτ|ῃ δὲ ἁλμυρᾷ τὸ σῶμα
βαπ|ίζεται. Τούτων οὕτως ἐχόντων, ἐκράτησεν αὐτὸν ὁ Ἰησοῦς λέγων· « Ὀλι-
γόπισ|ε, εἰς τί ἐδίσ|ασας; »

Τῇ τετάρτῃ γοῦν τῆς νυκτὸς ἐφίσ|αται Φυλακῇ· τέσσαρα γὰρ τοὺς πλέου-
Fol. 42, r°. τας ἐλύπει κεφάλαια, ἀὴρ ἀφανὴς [5], πνεύματος ἐπιδρομὴ, νὺξ ἀσέληνος, κω-
κύουσα θάλασσα· τετάρτῃ τοῖς πλέουσιν ἐφίσ|αται Φυλακῇ, ἡ γὰρ τετρὰς
τῶν σ|οιχείων κατ' αὐτῶν ἐμαίνετο. Εἰ δέ σοι φίλον ἡμᾶς νόμῳ τῆς ἀναγωγῆς
φράσαι τὸ προκείμενον, ὑπερκύψαντες ὀλίγου τοῦ γράμματος τὸ ῥητὸν, τη-
λαυγέσ|ατον δηλαδὴ τὸν νοῦν σκοπήσωμεν [6], θαλατ|αν εἶναι λέγοντες τὴν ἁλ-
μυρώδη ζωὴν, νύκτα δὲ τὸν βίον, σκάφος δὲ τὸν κόσμον, πλέοντας δ' ἐν αὐτῷ
καθάπερ πανν|χιον δι' ὅλου τοῦ βίου τὸ τῶν ἀνθρώπων γένος, ἐναντίον δ' ἄνε-
μον τοῦ διαβ|όλου τυγχάνειν τὴν πολλὴν ἐναντίωσιν, τετάρτην δὲ Φυλακὴν τοῦ
Σωτῆρος τὴν ἔλευσιν· εἰς τέσσαρας γὰρ Φυλακὰς ἡ νοητὴ νὺξ, τουτέσ|ιν ὁ
βίος, ἄνωθεν διεκληρώθη· ἐν πρώτῃ Φυλακῇ οἱ πατριάρχαι Φανέντες πίσ|εως
λαμπ|ῆρι τὸν βίον παρεμυθήσαντο· δευτέρᾳ Φυλακῇ ἐπισ|ὰς ὁ νόμος ἐκυβέρνα
τὸ σκάφος· τρίτῃ Φυλακῇ ὀφθέντες οἱ προφῆται συνεμάχουν τοῖς πλέουσιν·
Φυλακῇ δὲ τετάρτῃ ἐπιδημήσας ὁ Χρισ|ὸς τῶν ναυτιλλομένων τὴν ταραχὴν
ἐκώλυσε, καὶ πᾶσαν ἐπιδρομὴν τῶν ἀντιπάλων κατέσ|ειλεν ἐν πληρώματι
τῆς νυκτὸς λαμπηδόνα φιλανθρωπίας ἐπασ|ράπ|ων τοῖς πλέουσιν. Τοῦτο γνοὺς

[1] τετάρτων. — [2] ταῦτ' ὑπέθετό. — [3] πόσιν. — [4] In textu τῆς ·/. βυθῷ; in ext. marg. ἀπισ|ίας, a rec. manu. — [5] In textu κεφαλαιὰ ·/. ἀφανὴς; in ext. marg. ·/. ἀὴρ. — [6] σκοπίσωμεν.

ὁ ἀπόστολος λεπτῶς τὸ μυστήριον ἔγραφεν· ἡ νὺξ προέκοψεν· ἡ δὲ ἡμέρα ἤγγικεν· οὕτω γὰρ ἡ τετάρτη τῆς νυκτὸς γνωρίζεται Φυλακὴ, καθ' ἣν Φανεὶς ὁ Χριστὸς λαμπρὰν Θεογνωσίας ἡμέραν εἰργάσατο.

Fol. 42, v°. Ἔστι καθ' ἑτέρου Θεσπεσίου[1] γράμματος τὸ μυστήριον[2] τοῦτο μαθεῖν τὸ
[a] IV Reg. II. ἀπόρρητον· [a]Ἠλίαν πάντως που τὸν κορυφαῖον ἀκήκοας ἅρματι Φλογερῷ ἐκ
τῆς ἐπαράτου ταύτης ζωῆς ἀπονοστήσαντα· οὗτος παρὰ τῆς Θείας ὧδε Φωνῆς
[b] III Reg. XIX, 11, 12. ἀκήκοε τρανῶς τὴν ὑπόθεσιν τοῦ προκειμένου πράγματος, ἐνθα φησί[3] «[b]στήσῃ
ἔναντι τοῦ Κυρίου αὔριον καὶ ἰδοὺ πνεῦμα κραταιὸν διαλύον ὄρη καὶ συντρίβον
πέτρας, οὐκ ἐν τῷ πνεύματι Κύριος· καὶ μετὰ τὸ πνεῦμα συσσεισμὸς[4], οὐκ ἐν
τῷ σεισμῷ Κύριος· καὶ μετὰ τὸν συσσεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ Κύριος· καὶ
μετὰ τὸ πῦρ Φωνὴ αὔρας λεπτῆς,» ἐν τῇ αὔρᾳ τῇ λεπτῇ ὁ Κύριος[5]. Ἄκουσον
γὰρ καὶ ὧδε σαφῶς τῶν τετάρων ὁπλασιῶν τὸν καιρόν· πνεῦμα γὰρ κραταιὸν
τὸν πατριαρχικὸν τῆς Θεοσεβείας λόγον ὑπαινίττεται, ὃς τὴν ὄρειον τοῦ
δαίμονος Θρησκείαν διέλυσε καὶ πετρῶν ἀγάλματα ζήλῳ πίστεως ἀφειδῶς
συνέτριψεν, οἷος ἦν Ἀβραὰμ καὶ οἱ ἀμφ' αὐτόν. Μετὰ δὲ τὸ πνεῦμα λέγει
συσσεισμὸν τὸν μωσαϊκὸν νόμον, ὅστις τὴν οἰκουμένην ἀπὸ τῶν προσλαγμάτων Φημιζόμενος ἔσεισε, τότε μὲν Αἴγυπτον ὅλην, τότε δὲ τὸ Χωρὴβ καὶ τὸ
[c] Ps. CXIII, 4. Σιναῖον ὄρος κατὰ τὸ γεγραμμένον «[c]Τὰ ὄρη ἐσκίρτησαν ὡς κριοὶ,» τουτέστιν
ἐσείσθησαν, τοτὲ δὲ τὴν ἔρημον τοῖς φόβοις τοῖς πολλοῖς τεσσαράκοντα ἔτη,
τότε δὲ [τὴν] τῶν Χαναναίων[6] καὶ Παλαιστηνῶν χώραν. Μετὰ δὲ τὸν συσσεισμὸν
λέγει πῦρ τὸ ζέον καὶ λαμπρὸν τῆς ὁπλασίας τῶν προφητῶν, ὡς Φησίν Ἱερε-
[d] Ierem. XXIII, 19. μίας· «[d]Οὐχ ὡς πῦρ οἱ λόγοι μου; λέγει Κύριος·» μετὰ δὲ τὸ πῦρ Φωνὴν
Fol. 43, r°. αὔρας λεπτῆς (Φωνὴν[7] λεπτὴν ὧδε τρανῶς ὑπεσάλπισε[8] τοῦ ἀγγέλου Γαβριὴλ
τὸ ῥῆμα, ὃ εὐηγγελίσατο τὴν παρθένον Μαριὰμ) ἢ τάχα λεπτὴν μὲν αὔραν τὸ
σωτήριον σῶμα, Φωνὴν δὲ τὸν λόγον ἐν αὐτῷ διδάσκοντα. Πάνυ γὰρ ἁρμοδίως
οὐκ ἐν τῷ πνεύματι, οὐδ' ἐν τῷ συσσεισμῷ, οὐδ' ἐν τῷ[9] πυρὶ λέγει τυγχάνειν
τὸν Κύριον, ἀλλ' ἐν αὔρᾳ λεπτῇ, τουτέστιν ἐν λεπτῷ καὶ καθαρῷ σώματι· εὐλόγως οὖν ἐν τετάρτῃ καὶ ὧδε τὸν Κύριον ὁπλασίᾳ τυγχάνειν ὁ λόγος συνέσησεν, ὡς ἐν τετάρτῃ Φυλακῇ τοῖς Ἀποστόλοις ὀφθεὶς τοὺς πλέοντας ἔσωσεν.

[1] In ext. marg. σημείωσαι, comp. a rec. manu. — [2] In ext. marg. τὸ μυστήριον addit. — [3] In ext. marg. ·/. ἐνθα φησί. — [4] συσεισμὸς hic et alias. — [5] In ext. marg. a rec. manu Φωνὴ αὔρας λεπ (sc. λεπτῆς) κἀκεῖ κύριος. — [6] Χαννναίων. — [7] δὲ τὸν Θεὸν λόγον, voc. linea transfixis. — [8] ὑπεσάλπησε. — [9] οὐδὲ τῷ συσεισμῷ, ἀλλ' οὐδ' ἐν τῷ.

CAPUT XIV.

Solutio de dicto : Nam semper pauperes habetis vobiscum : me autem non semper habetis. (Matth. xxvi, 11; Marc. xiv, 7; Ioh. xii, 8.)

Λοιπὸν ἴδωμεν τί λέγει, « Τοὺς πλωχοὺς πάντοτε ἔχετε, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε, » καὶ πῶς μετὰ τὴν ἀνάστασιν ἐν τῷ πληρώματι τοῦ Εὐαγγελίου φησίν· « Ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Ἡ τοῦ λέγοντος ἀλλοίωσις εἴωθεν ἀλλοιοῦν εἰκότως καὶ τοὺς χρόνους· μέλλων γὰρ πάσχειν καὶ τὴν οἰκονομίαν ἐκπληροῦν τοῦ Θανάτου εἰκότως ἔλεγε μὴ πάντοτε τοὺς μαθητὰς ἔχειν τὸν διδάσκαλον· ὅτε δὲ τοῦ Θανάτου τὴν ῥαβδουχίαν[1] συνέθλασε καὶ τῆς σωματικῆς κατάστάσεως τὸν λόγον ἐνίκησε, τὸ φθαρτὸν ὑπαλλάξας τῷ ἀφθάρτῳ μυστικῶς, τὸ τηνικαῦτα κρεῖττον τῆς φθορᾶς τὸ φθαρτὸν ἐργασάμενος καὶ τὸ πρόσκαιρον ἰδίῳ κάλλει κατακοσμήσας, πᾶσαν τῶν φόβων τὴν προσδοκίαν λύσας, ἐκ Θνητῶν εἰς ἀθάνατον μετασήσας τὸ Θνητὸν, ἐκ γῆς εἰς ἄγειον μεταβαλὼν τὸ γήϊνον, ἐκ τυραννικῆς δουλείας εἰς ἐλευ-
Fol. 43, v°. θέριον[2] βασιλείαν ἀναλαβὼν, τὴν ἐπίκηρον εἰς ἀκήρατον ὑψώσας δίαιταν, ἁπαξαπλῶς τὸν ἄνθρωπον Θεὸν ἐργασάμενος, καθὸ Θεὸς λέγει τὴν ἀπερίγραφον αὐτοῦ ἐξουσίαν πανταχοῦ παρεῖναι τοῖς μαθηταῖς καὶ μὴ περικλείεσθαι, μὴ χρόνῳ, μὴ τόπῳ, μὴ ταχύτητι σώματος, μὴ ποσῷ, μὴ ποιῷ, μὴ χρώματι, μὴ σκιᾷ, μὴ παρελθόντι, μὴ μέλλοντι, μηδ' ἐνεστῶτι πράγματι. Μετὰ γὰρ τὸ πάθος τὸ σύμπαν ἐπεραίωσεν ἐνεστῶς, μέλλον καὶ παρεληλυθὸς[3], ποσὸν, ποιὸν, χρῶμα, σκιὰν, ταχύτητα σώματος, αὐτὰ περατώσας[4] τὰ λεγόμενα πέρατα, ὡς ἐντὸς αὐτοῦ τὸ πᾶν καὶ μηδὲν ἔξω τυγχάνειν. Καθάπερ γὰρ λαμπάδα πυρὸς ἀδαπάνητον, ἄσβεστον, πολλὴν, Θεσπεσίαν, μεγάλην ἅψας ἐπὶ τοῦ σταυροῦ, τὴν κρυπτομένην Θεότητα δι' αὐτῆς ξεναγούμενος, ἀκαριαίῳ ῥοπῇ πάντα πανταχοῦ περάσας ἐσφράγισε, γῆν, οὐρανὸν, κόσμον ὅλον καὶ τὰ ὑπερκόσμια, Θρόνους, Δόξας, Ὑπεροχὰς, αὐτὰ τὰ Σεραφὶμ, εἴ τι τούτων ἀνώτερον, διὰ τοῦ πατρὸς πάντα κατεσημήνατο. Τί γὰρ δεῖ λέγειν [περὶ] ἀδύτων καὶ νερτέρων, ὑποχθονίων, ἀφανῶν ὡς ὅλοις ἐπιστὰς ἀστραπῇ Θεότητος τῆς οἰκείας ἐξουσίας τὴν δεσποτείαν ἐφήπλωσεν[5];

[1] ῥαγδουχίαν. — [2] ἐλευθερίας. — [3] Pr. l. καὶ παρεληλυθός, alt. καὶ τὸ παρεληλυθός ubi τὸ a rec. manu superscriptum rejeci. — [4] Pr. l. παρατώσας; alt. positum ε a rec. manu. — [5] ἐφύπλωσεν.

Ἀμέλει[1] τὸν λῃσ|ὴν οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεὸς π|σ|ευθεὶς π|αρ' αὐτὰ
τῆς π|σ|έως ἐπὶ τὸν π|ολύολβον ἀνάγει π|αράδεισον, ὃν ἀπορρήτως ἐξ ἀρχῆς
φυτεύσας ἐρρ|ζωσεν. Οὐ γὰρ ὡς μυθευόμενοί τινες ἀποσοφ|ζονται, γραῶν σα-
Fol. 44, r°. πεισῶν μασώμενοι ῥήματα, δυσωδίας μαγειρικῆς καπνὸν ἐρευγόμενοι, κυνῶν
π|αραφόρων λύτ|αν ἀπομιμούμενοι, γνώμην τοῖς χρισ|ομάχοις ὁμοίαν χαλ- 5
κεύοντες, ἰουδαϊκῆς μανίας κοινωνοὶ καὶ συνήγοροι, διασ|ολῇ λέξεως τὸν νοῦν
τεμαχίζοντες, τὸ γεγραμμένον καλῶς κακῶς ἀπαγγέλλοντες, φάσκοντες,
[1] Luc. XXIII, 43. «[a]Ἀμὴν λέγω σοι σήμερον,» εἶτα διασ|είλαντες, «Ἔσῃ μετ' ἐμοῦ ἐν π|αρα-
δείσῳ» λέγουσιν ἀντὶ τοῦ «Σήμερόν, σοι λέγω, ἔσῃ ἐν π|αραδείσῳ μετ' ἐμοῦ»
π|οτε, ὡς εἰς μέλλοντα χρόνον τὴν ἐπαγγελίαν τῷ λῃσ|ῇ ἀποπέμπεσθαι; Καὶ 10
τίς ἐν τούτῳ τὴν τερατολογίαν[2] ταύτην καταδέξεται; τίς δὲ νοῦν ἔχων ἐρρω-
μένον καὶ λογισμὸν ὑγιᾶ τῶν οὕτω ῥυπαρῶν λόγων καπηλεῖον ἀνοιξάντων ἐν
βίῳ τὸ δόγμα π|ροσοίσεται; Κυνῶν[3] ἀλληλοφάγων τὰ τοιαῦτα ῥήματα, ἀσπί-
δων ἰοφόρων τὰ τοιαῦτα θρυλλήματα, ὄφεων συριζόντων τὰ τοιαῦτα μυθεύ-
ματα, σοφίσμασι τὴν ἀλήθειαν κλέψαι διατολμήσαντα, τὰ π|ρὸς ἀνατροπὴν 15
τῶν καλῶν λόγῳ δεινῶς ἠκονημένα, τὰ τολμῶντα π|εριγράφειν τὸν Χρισ|ὸν
ἐν τῷ π|άθει. Καὶ τίς (ἐρωτήσωμεν γὰρ τοὺς οὕτω κενόφρονας) ἔσχισε τὴν
γῆν καὶ τοῦ θανάτου τὸ ζοφερὸν ἤνοιξε δεσμωτήριον; τίς ἔκλασε τοὺς ἐκ
μακρῶν αἰώνων ἐπικειμένους δεσμοὺς τῷ Ἅδῃ τῷ σ|υγητῷ; τίς οὐρανὸν λάμ-
πειν τῶν ἡλιακῶν ἀκτίνων τὸ σέλας ἐκώλυσε; τίς νεκροὺς π|ρὸ[4] π|ολλῶν ἤδη 20
χρόνων λυθέντας ἀπὸ ψυχῶν[5] π|αρμοῦ τάχιον ὡς ὀλίγον ὑπνώσαντας ἐκ τῶν
Fol. 44, v°. τάφων ἀνέσ|ησεν; Ἢ π|άντως ὁ Θεὸς Λόγος ὁ τοῦ σ|αυρουμένου τότε μὴ χωρι-
ζόμενος ἦν[6] ταῦτα μὲν ἱκανὸς καὶ τὰ τούτων ἐπέκεινα π|οιεῖν εὐπορώτατος, τὰ
δὲ τούτων βραχύτερα[7] π|ράτ|ειν οὐκ ἐπήρκεσε; Πολὺ γὰρ μεῖζον κλεῖσαι μὲν
οὐρανὸν καὶ καλύψαι τὰ φέγγη καὶ Ἅδην ἀνοῖξαι καὶ τοὺς κατοιχομένους εἰς 25
ζωὴν μεταπέμψασθαι, τοῦ π|αράδεισον ἀνοῖξαι καὶ τὸν λῃσ|ὴν εἰσάξαι. Ἄτοπον
δὲ κἀκεῖνο, εἰ τὸ κράτος τῆς ἡμέρας ἀνειληφὼς ὁ ἥλιος ὑφ' ἓν τῆς οἰκουμένης
καταλαμβάνει τὸ π|ᾶν καὶ κόσμου π|αντὸς ἀκτῖνι μιᾷ φωτίζει τοὺς τέρμονας,
ὁ δὲ νοητὸς ἥλιος ὁ π|αμφαὴς, ὁ ἄσκιος, ἀπορρήτως ἐκ π|ατρὸς ἀνατείλας τοῖς
ὅλοις, ἀχρόνως γενόμενος καὶ χρόνους ἔντος ἔχων, φῶς ὄντως ἀληθινὸν, κρυ- 30
βῆναι μὴ δυνάμενον, φωτίζον π|άντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον,
κάλλος ὑπερκόσμιον, ἄλεκτον, ἀπερίγραπ|ον, μὴ π|ανταχοῦ π|αρῆν[8], ἀλλ' ἐπὶ
τοῦ σ|αυροῦ τυγχάνων οὐκ ἦν ἐν π|αραδείσῳ, οὐκ ἦν ἐν οὐρανῷ, οὐκ ἐν π|έ-
ρασι τοῦ π|αντὸς, οὐκ ἐν τῷ π|ατρὶ τῷ γεννῶντι μὴ π|αρούσης μεσιτείας ἀπα-

[1] In ext. marg. π|ερὶ τοῦ λῃσ|οῦ a rec. manu. — [2] τερατωλογίαν. — [3] κοινῶν. — [4] In ext. marg. π|ρο a pr. manu additum. — [5] ἀποψύχων. — [6] ἦ. — [7] βραχύτατα. — [8] π|αρεῖναι.

θῶς τὸν Μονογενῆ; Καὶ ἄνθρωπος μὲν καθεύδων νῷ τῆς φαντασίας γῆν ὀδεύει, πόλεις καταλαμβάνει, περαῖ ποταμοὺς, ψυχῆς ἀκοιμήτῳ λόγῳ τοῖς πᾶσιν ἐπιφοιτᾷ, Χριστὸς δ' ἐπὶ σταυροῦ τὸ[1] σῶμα κρατούμενος ἥττων ἀνθρώπου γέγονεν; ἀνθρώπου ποιητὴς καὶ πλάστης καὶ τεχνίτης οὐ παράδεισον ἔχει; οὐ κόσμον ἐνηγκάλισται; οὐχ ἡνιοχεῖ τὸ πᾶν; οὐ κρατεῖ τὰς ἡνίας[2]; οὐκ ἐν τῷ πατρὶ τυγχάνων, οὐρανὸν ὅλον καὶ τὰ ἐπέκεινα τῶν οὐρανῶν κυβερνᾷς; Φεῦ τῆς ἀνοίας! Φεῦ τῆς δυσφημίας! οὐκ εἰς τὸ βέλτιον τοῦ κοινοῦ ἡ τοῦ σταυροῦ δύναμις, εἴ γε τοῖς πιστεύουσιν οὐκ ἰσχύει παρ' αὐτὰ διδόναι τὸ αἴτημα. Καὶ πρὸ μὲν τοῦ σταυροῦ πιστεύοντι τῷ λεπρῷ τὰ τῆς καθάρσεως ἕτοιμα, ὁμοίως τυφλῷ[3] καὶ τῷ παρέτῳ τὰ τῆς σωτηρίας, Λαζάρῳ νεκρῷ, τῶν ἀδελφῶν πιστευουσῶν, τὰ τῆς ἀναστάσεως καὶ ἕτερα μυρία συμπλώματα καὶ πάθη τὸν λόγου τῶν πιστευόντων ἔφθανεν ὑγιαίνοντα, ἐπὶ δὲ τοῦ σταυροῦ, ὅπου τὸ συμπέρασμα τῆς πάσης οἰκονομίας, ὅπου τὸ πλήρωμα τῶν ἀγώνων τῶν μυστικῶν, ὅπου τὸ βασίλειον ὄντως τὸ διάδοχον, ὁ πιστεύων τῆς πίστεως παρ' αὐτὰ οὐ λαμβάνοι[4] τὸ λαμπρὸν ἐχέγγυον[5];

Fol. 45, r°.

Ἀλλὰ τί φασιν οἱ τῆς ἀμαθοῦς διατριβῆς συνήγοροι[6]; Καθὸ μὲν Θεὸς, εἶχεν ἐξουσίαν καὶ αὐθωρὸν εἰσάγειν τὸν λῃστὴν εἰς τὸν παράδεισον, καθὸ δὲ ἄνθρωπος, οὐκ ἔτι. Πρὸς οὓς ῥητέον, εἴ γε συνετεύξαντο· ὦ τῆς ἀπαιδευσίας τὴν μέθην ἀπόζοντες! ὦ τῶν ἐμβροντήτων ἔκγονοι καὶ ἀπόγονοι[7]! τίνι γοῦν ὁ πιστεύων ἐπίστευεν; ἀνθρώπῳ ψιλῷ ἢ καὶ Θεῷ καὶ ἀνθρώπῳ τυγχάνοντι; εἰ μὴ θέλετε μερίσαι τὸν Χριστὸν ἀπὸ τοῦ Θεοῦ καὶ τὸν Θεὸν ἀπὸ τοῦ Χριστοῦ, ἵνα πιστεύοντες ἰδίως μὲν τῷ Χριστῷ πιστεύσωσι, τουτέστι τῷ ἀνθρώπῳ, ἰδίως δὲ τῷ Θεῷ Λόγῳ τῷ σαρκωθέντι καὶ λαβεῖν ἀξιώσαντι τὸ τῶν ἀνθρώπων ἰδιώμα. Ἄπαγε! μηδ' εἰς ἔννοιαν ἔλθοι τοῦτό γε πιστοῦ ποτε! Οὐ γὰρ ἄλλος ὁ Χριστὸς καὶ ἄλλος ὁ Μονογενὴς τοῦ Θεοῦ υἱὸς, ἀλλ' ὁ Χριστός ἐστιν ὁ Μονογενὴς τοῦ Θεοῦ καὶ ὁ Μονογενὴς τοῦ Θεοῦ ἐστιν ὁ Χριστός· ὅθεν οὐκ ἄλλος ὁ Χριστὸς καὶ ἄλλος ὁ Ἰησοῦς, ἀλλ' ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς καὶ Χριστός ἐστιν ὁ Ἰησοῦς· φρίττει γοῦν τοῦ Χριστοῦ τὸ ὄνομα ὁ ᾅδης, οὐχ ὑπομένει ἂν ἀκούσῃ τὸν Ἰησοῦν. Οὐ τὸ πλῆθος οὖν τῶν ὀνομάτων πλῆθος εἰσάγει υἱῶν, ἀλλ' εἷς ἐστιν ὁ υἱὸς, ἔχων ὀνόματα πολλά. Κἂν γοῦν τις τὸν Ἰησοῦν εἰς βοήθειαν καλῇ, οὐ διασφαλήσεται· κἂν τὸν Χριστὸν, οὐ πλαίσει· κἂν τὸν υἱὸν, οὐχ ἁμαρτήσει ποτέ· κἂν τὸν Μονογενῆ, οὐ σκανδαλισθήσεται· τοιαύτη[8] γὰρ γνώμῃ ὁ λῃστὴς ἐπὶ τοῦ σταυροῦ πιστεύσας τῷ Χριστῷ μετὰ τοῦ πιστευ-

Fol. 45, v°.

[1] τῷ. — [2] οὐ κρατεῖ τὰς ἡνίας F. glossema. — [3] τυφλῷ. — [4] λαμβάνει. — [5] In textu εγέγγυον. — In ext. marg. ἐχέγγυον ἴσ (sc. ἴσως). — [6] In ext. marg. comp. σημείωσαι. — [7] καὶ ἀπόγονοι in ext. marg. addit. a pr. manu. — [8] In ext. marg. comp. σημείωσαι.

θέντος ὁρᾷ τὸν παράδεισον. Εἰ γὰρ ἐξ ὕλης ἡ βοτάνης συγκειμένου φαρμάκου τοπικῶς ἐν οἰκίας μέρει κατακειμένου, πανταχοῦ τῆς οἰκίας ἡ ὀσμὴ τοῦ φαρμάκου ἀπεριγράφῳ λόγῳ τοῖς ὅλοις ἐπέρχεται, πῶς οὐχὶ δῆτα μᾶλλον καὶ μυστικὸν καὶ πολὺ καὶ θεσπέσιον φάρμακον τὸ σωτήριον σῶμα καθάπερ ἐν οἴκῳ μεγάλῳ, δηλαδὴ τῷ παντὶ κόσμῳ, ἐπὶ σταυροῦ κρεμασθὲν, ὀσμῇ[1] θεότητος πάντα καταλήψεται, ἰσχυρᾷ τῆς εὐωδίας καὶ ζωτικῇ δυνάμει ἀνατολὴν, δύσιν, ἄρκτον, καὶ μεσημβρίαν, ὅλην τῆς οἰκουμένης τὴν ζώνην διϊκνούμενον; Οὐδεὶς οὖν τὸν Ἰησοῦν μετὰ τὴν ἀνάστασιν λόγος περιέκλεισεν, οὐ τόπος, οὐ χρόνος, οὐ ποσὸν, οὐ ποιὸν, οὐ πλάτος, οὐ μῆκος, οὐχ ὕψος, οὐ βάθος[2]· ἀλλὰ κἂν ἐν δυσμαῖς καλέσῃ τὸν Χριστόν τις, κἂν ἐν τῇ ἀνατολῇ, κἂν ἐν αὐτοῖς [τοῖς] ἀδύτοις, πρὸ τῆς κλήσεως ἐκεῖ τὸν Χριστόν ἐστιν εὑρεῖν· ἀχώριστον γὰρ ὑπάρχει τοῦ Θεοῦ Λόγου τὸ τοῦ σώματος ὄργανον· ἄλυτον ὁ ἱμὰς, ὡς Ἰωάννης
Fol. 46, r°. εἶπεν, ἐκείνου τοῦ πράγματος. Τούτῳ γοῦν τῷ λόγῳ καὶ τὸν ληστὴν εἰς τὸν παράδεισον ἄγει, τούτῳ τῷ λόγῳ καὶ τοῖς Ἀποστόλοις συννῆν, τούτῳ τῷ λόγῳ μέχρι συντελείας τῶν αἰστῶν οὐ χωρίζεται[3].

Πρὸ μέντοι τοῦ πάθους, ἠλήθευεν εἰπών, « Τοὺς πτωχοὺς πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε, » ὀπηνίκα τῆς οἰκονομίας ὁ μυστικὸς θάνατος ἔμελλεν αὐτὸν σωματικῶς χωρίζειν τῶν μαθητῶν, ὀπηνίκα δὲ καὶ γυνή τις ἀλάβαστρον μύρου πολυτίμου γεμίσασα κατὰ τῆς κεφαλῆς αὐτοῦ τὸ σύμπαν κατέχεεν, ὅτε καὶ Θρύλλος ἱκανὸς τῶν γογγυζόντων ἐγένετο, ὡς ἐχρῆν μᾶλλον πένητας ἐκ τοῦ μύρου τραφῆναι, καὶ μὴ τὸν πτωχεύσαντα δι' ἡμᾶς μυρισθῆναι, τοῦτον δὲ τὸν γογγυσμὸν ὁ τῆς προδοσίας ἐργάτης ἀνέκαυσεν, ὁ τριακοσίων μὲν δηναρίων τὸ τῆς βοτάνης μῦρον ἀποτιμησάμενος, τριάκοντα δὲ τὸ οὐράνιον μῦρον τὸ κενωθὲν ἐπὶ γῆς ἐν παροινίᾳ πωλῶν[4]. Ἀλλ' οὐχ ἁρμόδιον τὰ νῦν τῆς σκηνῆς Ἰούδα τραγῳδεῖν τὴν ὑπόθεσιν· ζητημάτων γὰρ ἀγῶνες τόνδε δαμάζουσι καὶ τῶν ἀπορουμένων κεφαλαίων ἡ λύσις καταπονεῖ. Διὸ καὶ ταύτην πιθανῶς λεχθεῖσαν λαβὼν τὴν ὑπόθεσιν, ἑτέρα εἴ τις ὑπόκειται ζητήσεως ἀφορμὴ, ἐν τῷ μέσῳ φανέρωσον· ὀνίνησι γὰρ ἡμᾶς οὐ μικρῶς τῆς τοιαύτης ἀντιλογίας ὁ κάματος.

[1] ὀσμὴ. — [2] In ext. marg. comp. σημείωσαι. — [3] χορίζεται. — [4] πωλῶν.

CAPUT XV.

Quæstio de dicto : Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis. (Ioh. VI, 54.)

Ἕλλην[1]. Ὁ δ' ὑπομειδιάσας καὶ κατασιϊζόμενος ἡμῶν, ἀπεκρίνατο Φάς· Ὡς
Fol. 46, v°. οἱ Θρασύτεροι τῶν ἀγωνισιῶν μέχρι τῆς ἀγωνίας νικᾶν ἐπαγγελλόμενοι πολλοὺς ἐν τῷ σιαδίῳ τρέχειν ἐρεθίζουσι, τὸν αὐτὸν δοκεῖς μοι καὶ σὺ τρόπον ἀνειληφὼς, ἑτέραν ὡς ἐκ βαλβῖδός σοι Θέλειν[2] πεῦσιν προσάγεσθαι. Λέγ' οὖν ἡμῖν, ὦ τᾶν, ἐντεῦθεν ἀρξάμενος.

Πολυθρύλλητον[3] ἐκεῖνο ῥῆμα τοῦ Διδασκάλου ἐσιὶν, ὃ λέγει· « Ἐὰν μὴ Φάγητέ μου τὴν σάρκα καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. » Τοῦτο γὰρ οὐ Θηριῶδες ὄντως οὐδ' ἄτοπον, ἀλλ' ἀτοπήματος παντὸς ἀτοπώτερον καὶ παντὸς Θηριώδους τρόπου Θηριωδέσιερον, ἄνθρωπον ἀνθρωπίνων σαρκῶν ἀπογεύεσθαι καὶ πίνειν ὁμοφύλων αἷμα καὶ ὁμογενῶν, καὶ τοῦτο πράτιοντα ζωὴν ἔχειν αἰώνιον· ποίαν γὰρ, εἰπέ μοι, τοῦτο ποιοῦντες ὑπερβολὴν ὠμότητος εἰς τὸν βίον εἰσάξετε[4]; ποίαν τούτου τοῦ μύσους[5] ἐναγεσιέραν κακίαν ἄλλην καινοτομήσετε; Οὐ φέρουσιν ἀκοαὶ, οὐ λέγω τὴν πρᾶξιν, ἀλλ' οὐδὲ τὸ λεγόμενον νεώτερον τοῦτο καὶ ξένον ἀνοσιούργημα, οὐδὲ τῶν Ἐρινυύων αἱ Φαντασίαι ποτὲ τοῖς ἐκτόπως ζῶσι τοῦτο κατεμήνυσαν, οὐδὲ Ποτιδαιᾶται, εἰ μὴ λιμὸς ἀπάνθρωπος αὐτοὺς κατελέπιυνε, τοῦτο κατεδέξαντο· Θυέσιειόν[6] ποτε δεῖπνον ἐξ ἀδελφικῆς λύπης τοιοῦτο ἐγένετο· Τηρεὺς ὁ Θρᾳξ ἄκων τοιούτων ἐνεφορήθη[7] σιτίων· Ἅρπαγος ὑπ' Ἀσιυάγους ἀπατηθεὶς τὰς τοῦ φιλτάτου σάρκας ἐθοινήσατο[8]· καὶ πάντες οὗτοι ἀκουσίως τοιαύτην ὑπέμενον
Fol. 47, r°. βδελυρίαν. Οὐ μήν τις ἐν εἰρήνῃ ζῶν τοιαύτην ἤρτυσεν ἐν τῇ ζωῇ τράπεζαν· οὐδεὶς παρὰ διδασκάλου τοιοῦτο μυσαρὸν ἐδιδάχθη μάθημα· κἂν Σκυθίαν ταῖς ἱσιορίαις παρέλθῃς, κἂν τοὺς Μακροβίους διέλθῃς Αἰθίοπας, κἂν τὴν ὠκεάνιον ζώνην ἐν κύκλῳ διϊππεύσῃς, Φθειροφάγους μὲν καὶ ῥιζοφάγους εὑρήσεις, ἑρπετοσίτας καὶ μυοτρώκτας[9] ἀκούσεις, σαρκῶν δ' ἀνθρωπείων πάμπαν ἀπεχομένους. Τίς οὖν ὁ λόγος οὗτος[10]; κἂν γὰρ ἀλληγορικῶς ἔχῃ τι μυσιικώτερον[11]

[1] In ext. marg. a pr. manu. — [2] Θέλεις τὴν. — [3] πολυθρήλλητον. In marg. τὸ addidit pr. manus. — [4] εἰσάξατε. — [5] μίσους. — [6] Verbum in marg. ext. additum a pr. manu. — [7] ἐνεφορίσθη. — [8] Pr. lectio ἐθοινίσατο. — [9] Pr. lectio μυοτρώκτους. — [10] Comp. σημείωσαι. — [11] μυσιηκώτερον.

καὶ λυσιτελέσ|τερον, ἀλλ' ἡ ὀσμὴ τῆς λέξεως διὰ τῆς ἀκοῆς εἴσω που παρελθοῦσα αὐτὴν ἐκάκωσε τὴν ψυχήν, τῇ ἀηδίᾳ παράξασα, καὶ τῶν ἀποκρύφων τὸν λόγον ἐσίνωσεν ὅλον παρασκευάσας[1] σκοτοδινιάσαι τῇ συμφορᾷ τὸν ἄνθρωπον· οὐδὲ τῶν ἀλόγων ἡ Φύσις, κἂν ἀπαραίτητον ἴδῃ λιμὸν καὶ ἀφόρητον[2], ὑπομείνῃ τοῦτό ποτε· οὐδὲ κύων κυνὸς, οὐδ' ἄλλο τι τῶν ὁμογενῶν γεύσεταί ποτε σαρκῶν. Ἀλλὰ πολλοὶ τῶν διδασκόντων καινοτομοῦσι ξένα· τούτου δὲ καινότερον οὐδεὶς τῶν διδασκόντων ἐξεῦρε τραγῴδημα, οὐχ ἱσ|τοριογράφος, οὐ φιλόσοφος ἀνὴρ, οὐ βαρβάρων, οὐχ Ἑλλήνων τῶν ἄνω. Βλέπετε γοῦν τί παθόντες συμπείθεσθαι[3] τοὺς εὐχερεῖς ἀλόγως προτρέπεσθε, βλέπετε ποῖον οὐ μόνον ταῖς ἀγροικίαις, ἀλλὰ καὶ ταῖς πόλεσιν ἐπικωμάζει[4] κακόν! Ὅθεν δοκεῖ μοι μήτε Μάρκον μήτε Λουκᾶν μητ' αὐτὸν τοῦτο γεγραφηκέναι Ματθαῖον, ἅτε δοκιμάσαντας οὐκ ἀσ|λεῖον τὸ ῥῆμα, ἀλλὰ ξένον καὶ ἀπᾷδον καὶ τῆς ἡμέρου ζωῆς μακρὰν ἀπῳκισμένον. Καὶ τοῦτο μὲν οὐδ' [ἂν] αὐτὸς ἀναγνοὺς ἀσμενίσειας πολλοῦ δὲ [δεῖ] τις ἄλλος[5] ἐλευθερίῳ παιδεύσει συναυξηθείς.

Fol. 47, v°.

[1] παρασκεύσας. — [2] ἀφόρυτον. — [3] συμπίθεσθε. — [4] ἐπεκωμάκει. — [5] Codex ἄλλο καὶ τοῦτο ἐλευθερίᾳ; punctis infra et post καὶ τοῦτο positis.

CAPUT XVI.

Quæstio de dicto : Et si mortiferum quid biberint, non eis nocebit. (Marc. xvi, 18.)

Σκέψαι δὲ κἀκεῖνο λεπτῶς τὸ κεφάλαιον[1], ἔνθα φησί· « Τοῖς δὲ πιστεύσασιν ἐπακολουθήσει σημεῖα τοιάδε· ἐπὶ ἀρρώστους χεῖρας[2] ἐπιθήσουσι καὶ καλῶς ἕξουσι· κἂν θανάσιμον φάρμακον πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει. » Ἐχρῆν γοῦν τοὺς ἐκκρίτους τῆς ἱερωσύνης καὶ μάλιστα τοὺς ἀντιποιουμένους τῆς ἐπισκοπῆς ἤτοι προεδρίας τούτῳ χρήσασθαι τῷ τῆς κρίσεως τρόπῳ καὶ προκεῖσθαι τὸ θανάσιμον φάρμακον, ἵνα ὁ μὴ βλαβεὶς ἐκ τῆς Φαρμακοποσίας[3] τῶν ἄλλων προκριθείη, εἰ δ' οὐ θαρροῦσι τοιοῦτον παραδέξασθαι τρόπον, ὁμολογεῖν αὐτοὺς, ὡς οὐ πιστεύουσι τοῖς ὑπὸ Ἰησοῦ [ῥηθεῖσιν]. Εἰ γὰρ τῆς πίστεως ἴδιον νικῆσαι Φαρμάκου κακίαν καὶ νοσοῦντος ἀλγηδόνα καταβαλεῖν, ὁ πιστεύων καὶ μὴ ποιῶν ταῦτα ἢ γνησίως οὐ πεπίστευκεν ἢ πιστεύων γνησίως οὐ δυνατὸν ἀλλ' ἀσθενὲς ἔχει τὸ πιστευόμενον.

[1] Comp. *σημείωσαι*. — [2] *χεῖρας* in ext. marg. a rec. manu. — [3] *Φαρμακωποσίας*.

CAPUT XVII.

Quæstio de grano sinapis. (Matth. xvii, 19.)

Βλέπε[1] δ' ὅμοιον τούτῳ ῥητὸν καὶ ἀκόλουθον· « Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἀμὴν λέγω ὑμῖν, ἐρεῖτε τῷ ὄρει τούτῳ· Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. » Δῆλον τοίνυν ὡς ὁ μὴ δυνάμενος ἐκ προσλάγματος ὄρος ἀποκινῆσαι οὐκ ἔστιν ἄξιος τῆς τῶν πιστῶν νομίζεσθαι φρατρίας. Ὅθεν ἐλέγχεσθε φανερῶς ὅτι μὴ ὅπως τὸ λοιπὸν μέρος τῶν Χριστιανῶν τοῖς πιστοῖς ἐναριθμεῖται, ἀλλὰ μηδὲ τῶν ἐπισκόπων ἢ πρεσβυτέρων τις τούτου τοῦ προσρήματός ἐστιν ἄξιος.

[1] Comp. σημείωσαι.

CAPUT XVIII.

Quæstio de dicto : Mitte te deorsum. (Matth. IV, 6-7.)

Fol. 48, r°. Φέρε δέ σοι κἀκείνην ὧδε τὴν λέξιν εἴπωμεν[1], τίνος χάριν τοῦ πειράζοντος τὸν Ἰησοῦν λέγοντος· « Βάλε σεαυτὸν ἀπὸ τοῦ ἱεροῦ κάτω, » τοῦτο μὲν οὐ ποιεῖ, φησὶ δὲ πρὸς αὐτόν· « Οὐ πειράσεις Κύριον τὸν Θεόν σου· » ὅπερ δοκεῖ μοι δεδοικότα τὸν ἐκ τῆς καταπλώσεως κίνδυνον τοῦτ' εἰρηκέναι. Εἰ γὰρ, ὡς φατε, ἄλλα τε πολλὰ διεπράτλετο θαύματα, καὶ δὴ καὶ νεκροὺς ἀνίστα λόγῳ μόνῳ, ἐχρῆν αὐτὸν παραχρῆμα δεῖξαι ὡς ἱκανὸς [ἐστὶ] καὶ ἑτέρους ἀπὸ κινδύνων ῥύσασθαι[2] ἐν τῷ δισκεῦσαι τοῦ ὕψους ἄνωθεν αὐτὸν κάτω, καὶ μηδὲν ὁτιοῦν αὐτὸν λωβηθῆναι τοῦ σώματος, καὶ μάλισθ' ὅτι καὶ γραφικὸν εἰς αὐτόν που διελάλει κεφάλαιον φάσκον· « Ἐπὶ χειρῶν ἀροῦσί σε μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου, » ὅθεν τοῖς ἐν τῷ ἱερῷ παροῦσι δείξαι τῷ ὄντι δίκαιον, ὅτι Θεοῦ παῖς ἐστὶ καὶ παντὸς κινδύνου δύναται αὐτόν τε καὶ τοὺς αὐτοῦ ῥύεσθαι.

[1] Comp. σημείωσαι. — [2] In textu ῥύσασθαι; in ext. marg. ῥύεσθαι.

CAPUT XIX.

Quæstio de dicto : Dixit Petro : Vade post me, Satana. (Matth. xvi, 23.)

Ταῦτα μὲν χύδην οὕτω μακρηγορούμενα[1] πολλὴν, ὡς εἰκὸς, ἔχει τὴν ἀηδίαν, καὶ ὥσπερ αὐτὰ πρὸς ἑαυτὰ τῆς ἀντιλογίας ἀνακαίει τὴν μάχην. Εἰ γὰρ ἐθέλει τις ὡς ἐκ τριόδου κἀκείνων τῶν εὐαγγελιῶν ἀφηγήσασθαι τὸν λόγον, ὃν ὁ Ἰησοῦς τῷ Πέτρῳ διαφθέγγεται φάς[2]· « Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· » εἶτ' ἐν

[a] Matth. xvi, 18-19.

ἑτέρῳ τόπῳ· « [a]Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καί σοι δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. » Εἰ γὰρ οὕτω κατέγνω τοῦ Πέτρου, ὡς καὶ Σατανᾶν αὐτὸν εἰπεῖν ὀπίσω βαλλόμενον καὶ σκάνδαλον μηδ' ὁτιοῦν θεῖον ἀνειληφότα φρόνημα, ἀποσκορακίσαι δ' αὐτὸν οὕτως, ἅτε καιρίως πλημμελήσαντα, ὡς μηδ' εἰς ὄψιν τοῦ λοιποῦ λαβεῖν τοῦτον ἐθέλειν, ἀλλ' εἰς τοὐπίσω ῥίψαι εἰς τὸν τῶν ἀπεριμμένων καὶ ἀφανῶν ὅμιλον, τί χρὴ ταύτης ἀνωτέρω τῆς ἀποφάσεως ψῆφον ἀπεκδέχεσθαι κατὰ τοῦ κορυφαίου καὶ πρώτου τῶν μαθητῶν; Ταῦτα γοῦν εἴ τις νήφων σφοδρῶς μηρυκήσεται, εἶθ', ὡς ἐπιλαθομένου τοῦ Χριστοῦ τῶν κατὰ τοῦ Πέτρου γεγενημένων φωνῶν, ἐπακούσει τὸ « Σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν » καὶ τὸ, « Σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, » οὐ γελάσεται μέγα τὸ σῶμα ῥηγνύμενος; οὐ καγχάσει καθάπερ ἐν θυμέλῃ θεάτρου; οὐ λέξει κερτομῶν, οὐ συριεῖ σφοδρότερον; οὐ τοῖς παρεστῶσιν ἐρεῖ γεγωνότερον, « ἢ Πέτρου Σατανᾶν λέγων ἐμεθύσκετο οἴνῳ βεβλημένος καὶ λαλῶν ἐπιληπτα, ἢ κλειδάρχην τοῦτον τῆς βασιλείας ποιῶν ὀνείρους ἐζωγράφει, τῇ φαντασίᾳ τῶν ὕπνων; » Ποῖος γὰρ Πέτρος βασιάσαι τῆς Ἐκκλησίας τὴν κρηπῖδα δυνάμενος ὁ μυριάκις σαλευθεὶς[3] εὐχερείᾳ τῆς γνώμης; ποῖος σιερρὸς ἐν αὐτῷ λογισμὸς ἐφωράθη, ἢ ποῦ τὸ ἀκλόνητον τῆς φρονήσεως ἔδειξεν, ὁ παιδίσκης οἰκτρᾶς ἕνεκεν τοῦ Ἰησοῦ ῥημάτιον ἐπακούσας καὶ δεινῶς κραδαινόμενος, ὁ τρίτον ἐπιορκήσας, οὐ μεγάλης αὐτῷ τινος ἐπικειμένης ἀνάγκης; Εἰ γοῦν τὸν οὕτως εἰς αὐτὸ τῆς εὐσεβείας πλαίσαντα τὸ κεφάλαιον Σατανᾶν προλαβὼν εὐλόγως ὠνόμασεν, ἀτόπως πάλιν ὡς ἀγνοῶν ὃ ἐποίησε, τῆς κορυφῆς τῶν πραγμάτων δίδοῖ τὴν ἐξουσίαν.

Fol. 48, v°.

[1] μακρυγορούμενα. — [2] Comp. σημείωσαι. — [3] σαλευθὶς.

CAPUT XX.

Quæstio de dicto : Septuagies septies. (Matth. XVIII, 22.)

Fol. 49, r°. Ὅτι δὲ Πέτρος ἐν πολλοῖς πλαίσας κατηγορεῖται, δηλοῖ[1] κἀξ ἐκείνου τοῦ κεφαλαίου τὸ ῥητὸν, ὅπου πρὸς αὐτὸν ὁ Ἰησοῦς εἶπεν· « Οὐ λέγω σοι ἕως ἑπλάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπλὰ ἀφήσεις τῷ πλημμελοῦντι τὸ ἁμάρτημα. » Ὁ δὲ ταύτην λαβὼν τὴν ἐντολὴν καὶ τὴν νομοθεσίαν οὐδ' ὁτιοῦν τὸν δοῦλον τοῦ ἀρχιερέως πλημμελήσαντα κόπλει τοῦ ὠτίου καὶ μῶμον ἐργάζεται μηδὲν ὅλως ἁμαρτόντα. Τί γὰρ ἥμαρτεν, εἰ κελευσθεὶς ὑπὸ τοῦ δεσπότου συνῆλθεν εἰς τὴν τότε κατὰ τοῦ Χριστοῦ ἔφοδον;

[1] δῆλον.

CAPUT XXI.

Quæstio de Ananiæ et Saphiræ morte. (Act. v, 1-11.)

Οὗτος ὁ Πέτρος καὶ ἐν ἑτέροις ἀδικῶν ἐλέγχεται· ἄνδρα γάρ τινα λεγόμενον Ἀνανίαν καὶ σὺν αὐτῷ γυναῖκα Σάπφειραν καλουμένην, ἐπεὶ μὴ τὸ πᾶν τοῦ χωρίου τίμημα κατεβάλοντο[1], ὀλίγον δ' εἰς ἀναγκαίας ἑαυτοῖς τὰς χρείας ἀφώρισαν, ἐθανάτωσε μηδὲν ἀδικήσαντας. Τί γὰρ ἠδίκησαν, εἰ μὴ πάντα τὰ ἑαυτῶν ἠθέλησαν χαρίσασθαι; Εἰ δ' ἄρα καὶ ἀδίκημα τὸ πρᾶγμα ἐνομίζετο, ἐχρῆν αὐτὸν τῶν ἐντολῶν τοῦ Ἰησοῦ μεμνημένον, ἕως τετρακοσίων ἐνενήκοντα πλημμελημάτων συμπάσχειν διδαχθέντα[2], συγγνῶναι τῇ μιᾷ, εἴ γ' ὄντως ἁμαρτία τις τὸ πεπραγμένον ὑπῆρχε· σκοπεῖν δ' αὐτὸν ἐχρῆν πρὸς τοῖς ἄλλοις κἀκεῖνο· ὡς αὐτὸν ἀγνοεῖν ὁμόσας τὸν Ἰησοῦν οὐ μόνον ἐψεύσατο, ἀλλὰ καὶ ἐπιώρκησε τῆς μελλούσης καταφρονήσας κρίσεως καὶ ἀνασ⟨τ⟩άσεως.

[1] κατεβάλλοντο. — [2] διδαχθέντι.

CAPUT XXII.

Quæstio de Petro e carcere liberato ab Angelo. (Act. XII, 5-11.)

Οὗτος ὁ πρωτοστάτης τοῦ χοροῦ τῶν μαθητῶν διδαχθεὶς ὑπὸ τοῦ Θεοῦ
Fol. 49, v°. θανάτου καταφρονεῖν, συλληφθεὶς ὑπὸ Ἡρώδου καὶ φυγὼν, αἴτιος κολάσεως
τοῖς τηροῦσιν ἐγένετο. Φυγόντος γὰρ αὐτοῦ νυκτὸς, ἡμέρας γενομένης, θό-
ρυβος ἦν ἐν τοῖς στρατιώταις ὡς ἐξῆλθεν ὁ Πέτρος· ἐπιζητήσας δὲ αὐτὸν ὁ
Ἡρώδης καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι, του- 5
τέστιν ἀποτμηθῆναι. Θαυμάσαι τοίνυν ἔστι ὡς ὁ Ἰησοῦς τοιούτῳ ὄντι τῷ
Πέτρῳ τὰ κλειδία δέδωκε τῶν οὐρανῶν, ὡς ἐν τοσούτῳ τεταραγμένῳ[1] θορύβῳ
[a] Ioh. XXI, 15. καὶ τηλικούτοις πράγμασι καταπεπονημένῳ[2] ἔλεγε· « [a]Βόσκε τὰ ἀρνία μου, »
εἴ γε τὰ μὲν πρόβατά εἰσιν οἱ πιστοὶ[3] εἰς τὸ τῆς τελειώσεως προβάντες
μυστήριον, τὰ δ' ἀρνία τῶν ἔτι κατηχουμένων ὑπάρχει τὸ ἄθροισμα, ἁπαλῷ 10
τέως τρεφόμενον διδασκαλίας γάλακτι. Ὅμως ἱστορεῖται μηδ' ὀλίγους μῆνας
βοσκήσας τὰ προβάτια ὁ Πέτρος ἐσταυρῶσθαι, εἰρηκότος τοῦ Ἰησοῦ τὰς Ἄδου
[b] Galat. II, 12. πύλας μὴ κατισχύσειν αὐτοῦ. Κατέγνω καὶ Παῦλος Πέτρου λέγων· « [b]Πρὸ τοῦ
γὰρ ἐλθεῖν ἀπὸ Ἰακώβου τινὰς, μετὰ τῶν ἐθνῶν συνήσθιεν[4]· ὅτε δὲ ἦλθον,
ἀφώριζεν ἑαυτὸν φοβούμενος τοὺς ἐκ περιτομῆς· καὶ συνυπεκρίθησαν[5] αὐτῷ 15
πολλοὶ Ἰουδαῖοι. » Πολλὴ[6] δὲ κἀν τούτῳ καὶ μεγάλη κατάγνωσις, ἄνδρα τοῦ
θείου στόματος ὑποφήτην γενόμενον ἐν ὑποκρίσει ζῆν καὶ πρὸς ἀνθρώπων
ἀρέσκειαν πολιτεύεσθαι, ἔτι δὲ καὶ γυναῖκα περιάγεσθαι, Παύλου καὶ τοῦτο
[c] I Corinth. IX, 15. λέγοντος· « [c]Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγεσθαι, ὡς καὶ
[d] II Corinth. XI, 13. οἱ λοιποὶ Ἀπόστολοι καὶ Πέτρος; » Εἶτα ἐπιλέγει· « [d]Οἱ γὰρ τοιοῦτοι ψευδα- 20
πόστολοι, ἐργάται δόλιοι· » Εἰ γοῦν ἐν τοσούτοις ἱστόρηται Πέτρος[7] ἐγκεκυ-
Fol. 50, r°. λῖσθαι κακοῖς, ὡς οὐ φρικτέον ὑποτοπῆσαι κλεῖδας οὐρανοῦ κατέχειν καὶ
λύειν καὶ δεσμεῖν αὐτὸν μυρίοις[8] ἐσφιγμένον ὥσπερ ἀτοπήμασιν.

[1] τεταραγμένον. — [2] καταπεπονημένον. — [3] In ext. marg. ab hodierna manu : ὅρα ἕλληνος μαρτυρίαν περὶ τῆς βοσκῆς τῶν προβάτων τοῦ πέτρου, καὶ μὴ, ὦ ἰταλὲ, τοὺς ἀποστόλους πρόβατα νόμιζε, ἀλλὰ ποιμένας. — [4] συνσήθιεν. — [5] συνεκρίθησαν. In ext. marg. a sec. manu : συυπεκρίθ(ησαν). — [6] πολλοὶ. — [7] Πέτρος in textu om., in ext. marg. add. a sec. manu. — [8] μυ tantum pr. manus in fine versus : ρίοις in marg. add. sec. manus.

CAPUT XXIII.

Solutio de dicto : Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis. (Ioh. VI, 54.)

CHRISTIANUS.

Οὕτω κατακρουσθέντος τοῦ τῆς εὐσεβείας δόγματος καὶ μικροῦ σειομένης τῆς τῶν χρισ|ιανικῶν ϖεριβόλων κρηπῖδος, ἔρεισμα λόγων ἱκανῶν ἡμεῖς ἐζητήσαμεν, εἶτ' ὠχυρωμένον καθάπερ ϖολεμίῳ ϖύργον ἀνεσ|ήσαμεν, ἐν ᾧ ϖεποιθότες, ϖολλὰς μὲν ῥημάτων ἀκίδας δεχόμενοι, ἄτρωτοι διεμείναμεν, ϖολλὴν δὲ σοφισ|ικῆς δεινότητος φαρέτραν κενωθεῖσαν ἠνέγκαμεν· καὶ δὴ τῆς ϖαντευχίας καὶ τοῦ ταύτην κατέχοντος λοιπὸν ἀποκάμνοντος ἐκ τοῦ ῥοιζηδὸν καθ' ἡμῶν βελῶν ἠκονημένων τόξον ἀπευθύνοντος, ἡμεῖς ἠρέμα τῆς εὐταξίας κατ' αὐτοῦ τὴν ϖανοπλίαν ἐθήξαμεν καὶ ϖρώτην ὥσπερ ἀφετηρίαν εἰς αὐτὸν ϖεποιήμεθα φάσκοντες εἰς ϖρόσωπον αὐτοῦ καὶ τῶν σὺν αὐτῷ ϖερὶ τῆς σαρκὸς τοῦ Χριστοῦ ὡς οὐ ξένον οὐδὲ φρικῶδες εἴρηκεν ὁ Σωτήρ· « Ἐὰν μὴ φάγητέ μου τὴν σάρκα καὶ ϖίητέ μου τὸ αἷμα, οὐκ ἔχετε[1] ζωήν. »

Ὅρα γάρ μοι[2] τὸ ἀρτίτοκον νῦν εἴϖωμεν καὶ τικτόμενον βρέφος τὸ ἀπὸ σκοτεινῆς καὶ διύγρου μονῆς ἀναχωρῆσαν· ἂν μὴ φάγῃ τὴν σάρκα καὶ ϖίῃ τὸ αἷμα τῆς μητρὸς, οὐκ ἔχει ζωὴν οὐδ' εἰς ἀνθρώϖους ἀνάγεται, ἀλλ' εἰς τὸν σκότον ἄϖεισι τοῦ Θανάτου· ἂν δὲ τῶν φυσικῶν ἐκείνων μεταλάβῃ ϖηγῶν καὶ τῆς συγγενοῦς δαψιλῶς κατατρυφήσῃ σαρκὸς, τὸ τηνικαῦτα λοιπὸν εἰς ἡλικίαν ἀγόμενον κρείττονος μὲν ἀξιοῦται διαίτης καὶ τάξεως εἰς ἀνθρώϖους γραφόμενον ϖαιδεύσεώς τε μεθεκτὸν καὶ ϖολιτείας λαμπρᾶς μανθάνον[3] χαρακτῆρας, κἀντεῦθεν λοιπὸν εἰς ἄνδρας ἐϖισήμους ἔσ|ιν ὅτε καὶ μεγάλους τάττεται, σ|ρατηγίας, ναυαρχίας καὶ ϖολλοῦ βουλευτηρίου ϖεῖραν ἀναλαμβάνον[4], καὶ τῶν τοσούτων καὶ τηλικούτων καλῶν αἴτιον τὸ φαγεῖν τῆς τικτούσης τὴν σάρκα καὶ ϖιεῖν τὸ αἷμα τῆς μητρός. Καὶ μὴ Θελήσῃς εἰϖεῖν, ὡς οὐχ αἷμα τοῦτο, ἀλλὰ γάλα τυγχάνει· αἷμα γὰρ φύσει κατ' ἀλήθειαν ἐκ φύσεως ζωτικὸν, ἐϖὶ τὸν μαζὸν συναγόμενον[5], εἶτα μεταβαλόμενον εἰς λευκότητα γάλακτος ἐκ τοῦ τὴν Θηλὴν ἀνώτερον τοῦ σ|ήθους ἐϖικειμένην κοινωνίᾳ τοῦ ἀέρος

Fol. 50, v°.

[1] ἔχεται. — [2] μοι in textu om., in ext. marg. add. a sec. manu. — [3] μανθάνειν. — [4] ἀναλαμβάνειν. — [5] In ext. marg. a sec. manu : ϖῶς καὶ τίνι τρόϖῳ τὸ τῆς γυναικὸς γάλα γίνεται.

μετακεραννύειν[1] καὶ μεταφέρειν τὸ ξανθὸν εἰς λαμπρότητα. Φιλεῖ γάρ πως ὁ ἀὴρ πλησιαζούσῃ φύσει διδόναι ποιότητα, καὶ πῇ μὲν τὸ λευκὸν καταφορᾷ τῆς φλογὸς ἐπὰν εὕρῃ γυμνὸν, μέλαν ἀπεργάζεται, πῇ δὲ, τὸ ξανθὸν σίεγανὸν ὑπάρχον διαψύχων λευκὸν καὶ ἐπιφανές· αὐτίκα γοῦν τὸ ὕδωρ μέλαν ὑπάρχον ἐν κρήνῃ καὶ βαθυτάταις πηγαῖς πήξας, χιόνα λευκὴν καὶ λαμπρὸν ἐποίησε[2] κρύσταλον. Οὕτως εἰς [τὸ] ἔξω τῆς τικτούσης τὸ ζωτικὸν αἷμα συναγόμενον τρόπον τινὰ γειτονικὸν συμβάλλει[3] τῷ ἀέρι ῥηγνύμενον καὶ συνεχῶς ὧδε κἀκεῖσε συσίρεφόμενον λευκαίνεται καὶ γάλακτος λαμβάνει ποιότητα. Οὐ γὰρ ὡς ἔτυχεν οὐδ' εἰκῇ τοῦ σίήθους ἀνώτερον ἡ δημιουργὸς Φύσις τὰς σφαίρας τῶν μαζῶν ἐπέθηκεν, οἷά τινα χωρητικὰ καὶ μυσίικὰ δοχεῖα, ἀλλ' ἐπὶ λόγῳ, καθάπερ ἀφθόνους δεξαμενὰς, τὸ συναγόμενον ἐκ τῶν φλεβῶν ἀπογλυκαίνειν αἷμα καὶ
Fol. 51, r°. ποιεῖν ἐπιφανὲς καὶ πότιμον καὶ λευκὸν καὶ τὴν ἐγκειμένην ἀπολεπύνειν τῆς σαρκὸς παχύτητα· καὶ οὐ θαυμασίὸν τοῦτο, ὁπότε καὶ τὸ[4] τῶν ὑδάτων ἁλμυρὸν[5] καὶ τεταραγμένον ἐκ τῶν ὑπονομῶν τῆς ἀβύσσου φερόμενον ὡς διὰ μαζῶν τῶν πηγῶν ἡμῖν ἀποκαθαίρεται.

Εἴ γε οὖν ταῦτα φυσιολόγων ἡμῖν παῖδες πιθανῶς ἀπαγγέλλουσι καὶ πραγμάτων ἀκρίβειαν σαφῶς ἐκδιδάσκουσιν, ἣν καὶ ὑμεῖς περὶ πολλοῦ ποιεῖσθε, ποίαν σοι δοκεῖ ταραχὴν ἐνταῦθα τὸν εὐαγγελικὸν λόγον ἔχειν τοῦ Χρισίοῦ; Τί γὰρ φρικῶδες ἢ ξένον, ὡς τοπάζεις, ἐδίδαξε λέγων· « Ἐὰν μὴ φάγητέ[6] μου τὴν σάρκα καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε[7] ζωὴν ἐν ἑαυτοῖς; » Πόθεν γὰρ, εἰπέ μοι, τραφῇ τὸ τικτόμενον; οὐκ ἀπὸ τοῦ αἵματος τῆς τικτούσης καὶ τῶν σαρκῶν, καθὼς ἀποδέδεικται; οὐ λόγων πιθανῶν εὑρέσει καὶ μηχανῇ, ἀλλὰ τῷ τῆς ἀληθείας ἀκιβδήλῳ κανόνι. Εἴ γε οὖν ὁ Χρισίὸς ὅσοι ἔλαβον αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, μυσίικῷ τινι τούτους λόγῳ λοχευσάμενος, εἶτ' ἐνειλήσας ἀφράσίοις καὶ θείοις σπαργάνοις, πόθεν, ἀφήγησαι, τὰ τέκνα[8] τοῦ Θεοῦ ἄρτι τικτόμενα ζήσεται καὶ τραφήσεται; ἢ πάντως τῶν μυσίικῶν σαρκῶν ἀπογευόμενα καὶ πιόντα τοῦ μυσίικοῦ τῆς τικτούσης αἵματος; Ἥτις οὐκ ἄλλη παρὰ τὴν σοφίαν τοῦ Θεοῦ καθέσίηκε τίκτουσα· αὕτη γὰρ τὴν ἑαυτῆς τοῖς ἑαυτῆς[9] τέκνοις ἡτοίμασε τράπεζαν καὶ τὸν ἑαυτῆς οἶνον τοῖς ἑαυτῆς ἐκγόνοις ἐκέρασε, καθάπερ ἐκ δύο μαζῶν τῶν δύο διαθηκῶν πλουσίως προχέουσα, αὕτη γοῦν τῶν οἰκείων σαρκῶν καὶ τοῦ οἰκείου αἵματος τοὺς ἀρτιτόκους ἐκτρέφουσα ἥλικας ἀπεργάζεται καὶ μαθητὰς οὐρανίου βασιλείας ἀπο-
Fol. 51, v°. τελεῖ, εἶτα εἰς τὴν ἄνω πολιτείαν τῶν Ἀγγέλων ἐγγράφει εἰς τὸ ἀκήρατον

[1] μετα om. in textu, in marg. add. a sec. manu. — [2] ἐποίσε pr. m. : ἐποίησε sec. m. — [3] συμβαλὲν. — [4] το om. pr. m. : add. sec. — [5] In ext. marg. a sec. manu : περὶ τῶν ἁλμυρῶν ὑδάτων. — [6] φάγηταί. — [7] ἔχεται. — [8] In ext. marg. a sec. manu ὅρα ἐντεῦθεν τὴν λύσιν. — [9] ἑαυτοῖς.

αὐτοὺς ἄγουσα βουλευτήριον, ἀθανασίας τε πληρώσασα καὶ πάσης μακαριότητος ἐξομοιοῖ τῷ Πατρὶ, δοῦσα[1] αὐτοῖς ἀφθαρσίαν. Σάρκες οὖν καὶ αἷμα τοῦ Χριστοῦ ἤτοι τῆς σοφίας (ταυτὸν γὰρ καὶ ὁ Χριστὸς καὶ ἡ σοφία) οἱ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης ἀλληγορικῶς λελαλημένοι λόγοι, οὓς χρὴ τρώγειν μελέτῃ καὶ πέπτειν ἐν τῇ γνώμῃ διαμνημονεύοντας, καὶ ζωὴν ἐξ αὐτῶν οὐ πρόσκαιρον ἀλλ' ἔχειν αἰώνιον. Οὕτως Ἱερεμίας εἰς τὸ στόμα τοὺς λόγους ἐκ τῆς χειρὸς τῆς σοφίας δεξάμενος ἔφαγε καὶ φαγὼν ἔσχε ζωήν· οὕτως Ἰεζεκιὴλ κεφαλίδα λόγων φαγὼν ἐγλυκαίνετο καὶ τὸ πικρὸν τῆς παρούσης ζωῆς ἀπεβάλλετο· οὕτως ὁ καθ' ἕνα τῶν ἁγίων καί ποτε καὶ πάλαι καὶ αὖθις καὶ μετέπειτα τὴν σάρκα τῆς σοφίας τρώγων καὶ τὸ αἷμα[2] καὶ πίνων, τουτέστι τὴν γνῶσιν αὐτῆς καὶ τὴν ἀποκάλυψιν ἐν ἑαυτῷ δεχόμενος ἔζησε τὸν αἰῶνα, καὶ ζῶν οὐ λήξει ποτέ. Οὐ γὰρ μόνοις τοῖς μαθηταῖς ἐδίδου τὴν σάρκα φαγεῖν τὴν οἰκείαν ἑαυτοῦ καὶ πιεῖν ὁμοίως τὸ αἷμα (ἦ γὰρ ἂν ἠδίκει τοῦτο ποιῶν καιρίως τισὶ μὲν παρέχων, τισὶ δὲ οὐ πρυτανεύων τὴν αἰώνιον ζωὴν) ἀλλὰ πᾶσιν ὁμοίως ὁσίοις ἀνδράσι καὶ προφητικοῖς ὁμοῦ ταύτην ἀλληγορικῶς τὴν σιλαρχίαν ἔδωκεν.

Ἐπ' ἐσχάτου δὲ τῶν χρόνων ἄρτον καὶ ποτήριον τοῖς Ἀποστόλοις διδοὺς ἔλεγε· « Τοῦτό ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμά μου. » Ἵνα δὲ σαφέστερον δηλώσω τὸ διήγημα καὶ τοῦ κεφαλαίου τρανώσω τὸ ζήτημα, φυσικῶν σοι λόγων ἀνοίξω τὴν σίτησιν, εἴ γε θελήσῃς τῆς προλήψεως[3] ἀποθέσθαι τὴν οἴησιν· μαθήσῃ γὰρ αὐτόθεν τὸ μυστήριον. Τί γοῦν ἐστιν ὃ φαμεν; ἐκ γῆς πάντες ἄνθρωποι[4]
Fol. 52, r°. τὸ σῶμα γεγενήμεθα καὶ τρόπον τινὰ τρώγοντες τὴν σάρκα ταύτης, οὐ γὰρ αὐτὴν, καὶ τὸ αἷμα πίνοντες αὐτῆς οὐ φθειρόμεθα· σὰρξ δὲ γῆς καὶ αἷμα ὁ ξηρὸς αὐτῆς καρπὸς[5] καθέστηκε καὶ ὑγρός· ἀφ' ὧν ἐσθίοντες κατακόρως καὶ πίνοντες ζῶμεν, οὐ λυποῦντες τὴν γῆν, τὴν σάρκα καὶ τὸ αἷμα αὐτῆς ἀναλίσκοντες· σῖτον γὰρ καὶ οἶνον ἐξ αὐτῆς δρεπόμενοι ἱλαρῶς ἐν αὐτῇ τρυφῶμεν διάγοντες. Χρῆσόν μοι λοιπὸν ὧδε εἰς τὴν οἰκονομίαν τοῦ μυστηρίου τὸ οὖς καὶ πρὸς τὴν ἀκρόασιν θέωσον τὴν διάνοιαν[6]. Τί οὖν; γῆν ἔκτισεν ἐν ἀρχῇ ὁ Μονογενὴς υἱὸς, ἐκ γῆς τὸν ἄνθρωπον λαβὼν ἐδημιούργησεν, ἐξ ἀνθρώπου τὸ σῶμα λαβὼν ἐνηνθρώπησεν. Εἰ γοῦν τὸ σῶμα γῆ κατηγορεῖται λόγῳ τῆς ἀρχαιότητος, γῆ δὲ τοῦ Χριστοῦ ποίημα λόγῳ δημιουργίας, ἴδιον αὐτοῦ ποίημα δικαίως ὑπάρχουσα, ἐκ ταύτης δ' ἄρτι ἀνεδόθη καὶ οἶνος, ἐξ αὐτῆς δὲ[7] τοῦ ἀνθρώπου τὸ σῶμα· τὸ δὲ σῶμα τοῦτο ὁ Χριστὸς ἐνεδύσατο, εἰκότως λαβὼν

[1] δοὺς. — [2] καὶ τὸ αἷμα om. pr. manus : add. sec. in ext. marg. — [3] προσλήψεως. — [4] In ext. marg. a sec. manu : ὅρα τὸν φυσικὸν λόγον. — [5] καπνὸς pr. manus; καρπὸς corr. sec. manus. — [6] Comp. σημείωσαι. — [7] καὶ οἶνος punctis infra positis tollend. signific. pr. manus.

ἄρτον καὶ ποτήριον εἶπε· « Τοῦτό ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμά μου. » Οὐ γὰρ τύπος σώματος οὐδὲ τύπος αἵματος, ὡς τινες ἐρραψώδησαν πεπωρωμένοι τὸν νοῦν, ἀλλὰ κατὰ ἀλήθειαν σῶμα καὶ αἷμα Χριστοῦ, ἐπειδὴ τὸ σῶμα ἀπὸ γῆς, ἀπὸ γῆς δ' ὁ ἄρτος ὁμοίως καὶ ὁ οἶνος. Πῶς οὖν κἄλλος τις[1] εἰπεῖν κατετόλμησεν· « Ἡ σάρξ μου βρῶσις, καὶ τὸ αἷμά μου πόσις, » ἐπειδὴ γῆς δημιουργὸς καὶ ποιητὴς οὐδεὶς ἀνεφαίνετο οὐδ' οἰκεῖόν τινος τοῦτο τὸ κτίσμα καὶ ποίημα, μόνου δὲ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦτ' ἴδιον; Διὸ καὶ ἔλεγε· « Τοῦτό μου· ἐμοῦ γὰρ καὶ οὐκ ἄλλου τυγχάνει τὸ κτίσμα τῆς γῆς· πάντες γὰρ μετὰ
Fol. 52, v°. τὴν γῆν παρ' ἐμοῦ λαβόντες τὸ σῶμα γεγένηνται, ἐγὼ δὲ πρὸ τῆς γῆς παρ' οὐδενὸς ταύτην λαβὼν ἐδημιούργησα· ἐξ αὐτῆς δὲ τὸ σῶμα ἅτε ἐξ ἐμοῦ ποιήματος λαβὼν ἐνηνθρώπησα· ἐξ ἐμοῦ γοῦν ἐμὸν ὑμῖν προτείνω τὸ χάρισμα· ἐκ γῆς ὁ ἄρτος ὑμῖν εἰς τροφὴν[2] ἀφώρισται· ἐμὸν δὲ καθέστηκεν ἡ γῆ δημιούργημα· ἐκ γῆς ὁμοίως τὸ σῶμα καὶ τοῦτ' ἐμὸν φύραμα· ἄρτον γοῦν καὶ ποτήριον ἐκ συμπλοκῆς ἧς συνεπλάκην ὁ ἅγιος τῷ γηΐνῳ σφραγίσας δίδωμι, σῶμα τοῦτ' ἐμὸν εἶναι καὶ αἷμα διασταλλόμενος. »

Εἰ γὰρ ἦν εἰπὼν[3] Ἀβραὰμ, ἢ ἄλλος τις τῶν δικαίων· « Ἡ σάρξ μου βρῶσίς ἐστι, καὶ τὸ αἷμα μου πόσις, » θρασυνόμενος μεγάλως ἐψεύδετο, ὡς ἴδιον τὸ ἀλλότριον καταχαριζόμενος, ἐζημίου δὲ τὰ μεγάλα, διδοὺς ἄρτον καὶ ποτήριόν τισιν ἐξ εὐχερείας καὶ λέγων· « Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου. » Οὐ γὰρ αὐτοῦ, ἀλλ' οὗ[4] τοῦτ' ἐτύγχανεν ὕπαρξις. Ἀλλ' οὐδ' ἐσθιόμενα τοῖς ἐσθίουσι ζωὴν ἐχαρίζετο, ἐπεὶ μὴ τὸν ζῶντα λόγον εἶχεν ἐν τῇ συμπλοκῇ. Θεοῦ δὲ σῶμα χρηματίσαν τὸ γήϊνον εἰς αἰώνιον ζωὴν ἦγε τοὺς ἐσθίοντας· σῶμα γοῦν ἴδιον ὁ Χριστὸς καὶ αἷμα τοῖς πιστεύουσιν ἔδωκε ζωτικὸν ἐνθέμενος φάρμακον τῆς θεότητος. Ἄρτον γοῦν λέγων τὴν σάρκα καὶ οἶνον τὸ αἷμα, ἐπαίδευσεν[5] ἡμᾶς εὐλόγως ἐκ γῆς εἶναι τὸ σῶμα καὶ τὸν ἄρτον ὁμοίως, καὶ μίαν ἑκάτερα κεκτῆσθαι τὴν οὐσίαν. Ἀλλ' ὁ κοινὸς ἄρτος ἐν γῇ γεωργούμενος, εἰ καὶ σὰρξ ὑπάρχει τῆς γῆς, ζωὴν αἰώνιον ἔχειν οὐκ ἐπαγγέλλεται, πρόσκαιρον δὲ παραμυθίαν ἔχειν διδοῖ τοῖς ἐσθίουσιν, ἄνευ θείου πνεύματος θᾶττον ἀποσβεννύμενος· ὁ δ' ἐν τῇ μακαρίᾳ γῇ τοῦ Χριστοῦ γεωρ-
Fol. 53, r°. γούμενος, δυνάμει Πνεύματος ἡνωμένος Ἁγίου, ἐκ μόνης γεύσεως ἀθανατίζει[6] τὸν ἄνθρωπον. Τὴν γὰρ κλῆσιν τοῦ Σωτῆρος ὁ μυστικὸς ἄρτος κεκτημένος ἀχώριστον τὴν γενομένην ἐπὶ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος ἑνοῖ τὸν ἐσθίοντα τῷ σώματι τοῦ Χριστοῦ καὶ μέλη τοῦ Σωτῆρος τοῦτον ἀπεργάζεται.

[1] τις om. pr. manus : add. sec. — [2] εἰς τροφὴν om. pr. manus : in ext. marg. add. sec. — [3] εἰπὼν] om. pr. manus : in ext. marg. add. sec. εἰπὼν. — [4] οὗ] οὔτε pr. manus; τε delev. sec. — [5] εὐπαίδευσεν. — [6] θανατίζει.

Καθάπερ γὰρ[1] ἡ δέλτος διὰ τῶν γραμμάτων τοῦ διδασκάλου παραλαβοῦσα τὴν δύναμιν τῷ μανθάνοντι διδοῖ καὶ δι' αὐτῆς ἀνάγει τῷ διδασκάλῳ συνάπλουσα, οὕτω τὸ σῶμα, ὅπερ ἐστὶν ὁ ἄρτος, καὶ τὸ αἷμα, ὅπερ τυγχάνει ὁ οἶνος, τῆς ἀχράντου θεότητος τὴν ἀφθαρσίαν σπάσαντα, δίδωσιν αὐτόθεν τῷ μεταλαμβάνοντι, καὶ δι' αὐτῆς ἐπανάγει πρὸς αὐτὴν τοῦ κτίσαντος τὴν ἀκήρατον μονήν. Τρωγομένη γοῦν ἡ σὰρξ τοῦ Σωτῆρος οὐ φθείρεται οὐδ' ἐξαναλίσκεται τὸ αἷμα τοῦτο πινόμενον, ἀλλ' ὁ[2] τρώγων μὲν εἰς αὔξησιν θείων δυνάμεων ἔρχεται, τὸ δὲ τρωγόμενόν ἐστιν ἀδαπάνητον, ἐπειδὴ τῆς ἀδαπανήτου φύσεως[3] συγγενὲς ὑπάρχει καὶ ἀχώριστον. <Δέξαι γοῦν, εἴ σοι φίλον, μεγάλης ἀμφιβολίας μεγάλην ἀφήγησιν[4].>

[1] ὅρα τὴν ὁμοίωσιν. — [2] ἀλλὰ. — [3] λόγῳ τινὶ add. sec. manus in ext. marg. — [4] Delenda sunt omnino hæc verba, ab ipsius Magnetis opere prorsus aliena. Nempe nonnullis codicibus illata fuerat longa narratio de monacho quodam, cui dubitanti de præsentia Christi, ipse Christus sese obtulit. Vide, si libet, Joannem Antiochenum, in Sylloge inedita de sacris mysteriis (cod. Bibliothecæ Parisiensis, 364, 901). Cujus narrationis prima tantum verba librarius noster scripsit.

Turrianus, *De Eucharistia contra Volanum Polonum*, cap. XVII, p. 75 et sq. ed. Paris, 1577 : «Convertam hic e Græco, quæ Magnetes ecclesiasticus auctor et valde «vetus libro tertio Apologiarum adversum Theosthenem evangeliorum calumniatorem «scripsit; dicebat ergo iste idem quod Capharnaitæ illi, durus est hic sermo et quis «potest audire eum? Respondet Magnetes, quod vero non sit hoc ξένον καὶ φρικῶδες, «id est, inauditum et horrendum, considerare licet puerum infantem, quomodo nisi «manducet carnem et sanguinem matris, non vivit; natura enim sanguinis est secun«dum veritatem lac.» Quæ postquam ex hoc capite Magnetis (p. 103), in brevius contrahens, attulit Turrianus, cetera usque ad finem latine convertit (p. 106, 107). Duobus locis ipsa Magnetis verba græce etiam repetuntur Οὐ γὰρ τύπος=καὶ ὁ οἶνος (p. 106, l. 1-4). — Ἄρτον γοῦν λέγων=εἶναι τὸ σῶμα (p. 106, l. 24, 25).

CAPUT XXIV.

Solutio de dicto : Et si mortiferum quid biberint, non eis nocebit. (Ioh. VI, 54.)

Τὴν δ' ἐξῆς ταύτην ὧδε διασκεψώμεθα, μὴ σωματικώτερον τὴν ἀρρωστίαν ἢ τὸ θανάσιμον φάρμακον σκοπήσαντες· ἐπεὶ τὸν τῆς πίστεως λόγον ἀπολύομεν[1] εὑρίσκοντες μυρίους ἀπίστους καὶ τοῦ Θεοῦ ξένους καὶ τῆς εὐσεβείας ὑπάρχοντας κρείττους θανασίμων φαρμάκων γενομένους. Εἰ γὰρ καὶ πιστοὶ καὶ ἄπιστοι τὴν τῶν φαρμάκων ἐλέγχουσι δύναμιν, πῶς τοὺς μὲν ἀπίστους, τοὺς δὲ πιστοὺς καλέσομεν ἴσως τὴν τῶν βλαπτόντων κακίαν νικήσαντας[2]; Ἢ γὰρ πάντας ἀπίστους ἢ πιστοὺς καλέσομεν. Οὐ μὴν ἀλλὰ κἀπὶ τῶν ἀρ-
Fol. 53. v°. ρωστούντων ἔστιν ἰδεῖν πολλοὺς ἀπίστους ἀθέους, ὡς μόνον σημειωσάμενοι τὸ λυποῦν ἐφυγάδευσαν. Τί γοῦν; πιστοὺς ἀπὸ τοῦ πράγματος τούτους ὀνομάσωμεν[3] ἢ μᾶλλον ἐμπείρους καὶ νοσημάτων ἐξ ἐπιστήμης ταχινοὺς ἐλατῆρας; Οὐ χρὴ δ' οὖν ἀπατωμένους ἡμᾶς ἐκ φαρμακοποσίας αἰσθητῶς τοὺς πιστοὺς δοκιμάζειν, οὐδ' ἐκ νοσηλευομένων τὴν ἀκρίβειαν τῶν εὐσεβῶν λαμβάνειν· οὕτω γὰρ πάντως ἐπιτηδεύσουσι[4] πίνειν φάρμακα καὶ τούτων καταφρονεῖν ἰσχυροτέρᾳ τέχνῃ καὶ γέρας πίστεως ἀπαιτεῖν ἐξ ἀνθρώπων· οὕτω τινὲς ἐκ τέχνης ἀρρωστίαν νικήσαντες σωτῆρες ἀνθρώπων ὑπάρχειν κομπάσουσιν.

Ὅθεν οὐ χρὴ προχείρως ταύτην ὧδε τὴν λέξιν ἐκλαβεῖν τοῦ Σωτῆρος, ἀλλὰ τῆς δεούσης ἀξιῶσαι βασάνου. Εἰ γὰρ τοῖς πιστεύουσι τὸ θανάσιμον φάρμακον οὐ βλαβερὸν, ἀόρατον δηλαδὴ τοῦθ' ὑπάρχει τὸ φάρμακον τὸν ἀφανῆ καὶ ἀσώματον ἐργαζόμενον θάνατον[5], οὐκ ἐξ ἑρπετῶν τοῦτο κεκραμένον τὸ φάρμακον, οὐκ ἐξ ἀνθρωπίνης τέχνης τοῦτο συνηρτυμένον, ἐπεὶ τοῖς πιστεύουσι τὴν βλάβην οὐκ ἐμποιεῖ. Διδάσκαλόν σοι παρέξω τούτου τοῦ φαρμάκου τὸν χριστοκήρυκα Παῦλον ὧδέ πῃ καλῶς τοῦτο σαφηνίζοντα, ἔνθα λέγει·
[1] Rom. VI, 3, 4. « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν αὐτῷ ἐν τῷ βαπτισμῷ. » Ἴδε θανάσιμον φάρμακον μὴ βλάπτον τοὺς πιστεύοντας· τὴν γὰρ ἁμαρτίαν τυραννοῦσαν ἀπέκτεινε καὶ τὸν τυραννούμενον ἔσωσεν ἐκ πίστεως ἄνθρωπον. Τοῦτο γάρ τις πιὼν ἐν πίστει τὸ φάρμακον ἔνδον τῆς παρακοῆς τὸ παλαιὸν ἔτι ζῶν θηρίον ἐθανάτωσεν, αὐτὸς μὴ βλα-
Fol. 54. r°. βεὶς, ἀλλ' εἰς κρείττονα ζωῆς κλῆρον ἀπονοσήσας· ὃ γοῦν τοῖς ἀπίστοις ἐπι-

[1] ἀπολλύομεν. — [2] νικήσαντες. — [3] ὠνομάσωμεν. — [4] ἐπιτηδεύσωσι. — [5] In ext. marg. ἴσ (ἴσως) θάνατον a rec. manu.

ἐλαβὲς, τοῖς πιστοῖς ἐστιν ἀβλαβές. Οὕτως ἐν ὁδῷ πέτρα κειμένη πρὸς τὸ τοὺς βαδίζοντας[1] τῷ πηλῷ μὴ συγχραίνεσθαι τοῖς μὲν βλέπουσιν ὠφέλιμος καὶ τῆς πορείας σύμμαχος, τοῖς δὲ μὴ βλέπουσι κροῦμα καὶ πληγὴ καὶ ὑπώπιον· οὕτω τὸ παράπτωμα τῶν Ἰουδαίων γέγονε πλοῦτος ἐθνῶν καὶ τὸ ἧττημα αὐτῶν πλοῦτος κόσμου· οὕτως ὁ σταυρὸς λαμπηδόνι θεότητος πυρσεύων ἐπὶ τῆς γῆς σκότος τοῖς ἀπίστοις γέγονεν ἀδιόρθωτον, φῶς δὲ τοῖς πιστοῖς τρανὸν καὶ ἀθόλωτον.

Λέγει δ' οὖν δηλαδὴ τοῖς πιστεύουσι ταῦτ' ἀκολουθεῖν ἀοράτως σημεῖα, πίνουσιν ἐν πίστει φάρμακον καὶ μηδὲν βλαπτομένοις, οὐ μὴν ἀλλὰ καὶ χεῖρας ἐπαίρουσιν ἀρρώστοις. Ὅπερ τροπικῶς ἐκληφθὲν φανερὸν ἔχει τὸν νοῦν· χεῖρας γὰρ οὐδὲν ἕτερον ἢ τὰς ἐνεργείας τροπικῶς ἐμφαίνει τὰς πρακτικὰς, ἀρρωστίαν δὲ τὰς μεταβολὰς τῶν καιρῶν ὀνομάζει, βίων ἀνωμαλίαν καὶ τῆς κατὰ τὴν ζωὴν πολλῆς ἀσυμφωνίας τοὺς νεωτερισμοὺς τοὺς γιγνομένους κατὰ γῆν καὶ κατὰ θάλατταν· ἀρρωστεῖ γοῦν καιρὸς ἐν ἀβροχίᾳ πολλάκις, νοσεῖ ταῖς ἐπομβρίαις καὶ ταῖς ἀμέτροις νιφάσιν· ἀρρωστοῦντες γοῦν πολλάκις ἐφάνησαν οἱ χρόνοι, κακουμένου τοῦ ἀέρος τῇ τῶν στοιχείων μάχῃ· πιστοὶ[2] γοῦν τούτοις ἐπιβάλλοντες τὰς ἐργασίας τῶν πράξεων οὐκ ἀπέτυχον, οὐδὲ τῆς προσδοκίας ἀπέπεσον. Αὖτι δ' οὖν τὴν Σμυρναίων ἐπισκοπὴν διέπων Πολύκαρπος, τοῦ καιροῦ τῶν ληίων μεγάλως νοσήσαντος, ὀπηνίκα μηδὲ μικρῷ νέφει κρυπτόμενος οὐρανὸς ἄσβεστον ἐξ ἀέρος τὴν φλόγωσιν ἔπεμπεν εἰς ἄμετρον τὴν
Fol. 54, v°. ἐπικειμένην διακαίων[3] ἤπειρον μέχρι τοσούτου καὶ τῶν λιβάδων τὰς νοτίδας ἐξήρανεν, ἐπὶ πολὺ δὲ τοὺς ἀνθρώπους τοῦ λυπηροῦ πιέζοντος, παρελθὼν ὁ θεσπέσιος ἐκεῖνος ἀνὴρ καὶ θεασάμενος τοὺς οἰκήτορας οὕτω τετρυχωμένους, τὰς χεῖρας δι' εὐχῆς ἐπιβαλὼν τρόπον τινὰ κεκαυμένῳ[4] καιρῷ ἐξαίφνης τοῦ[5] καλῶς ἔχειν ἐποίησε τὰ πάντα· ἀμέτρως δ' αὖθις ὑετῷ πνιγομένης τῆς χέρσου καὶ τῶν ἐνοίκων οἰκτρῶς ὀδυρομένων, πάλιν ὁ αὐτὸς εἰς ἀέρα τὰς χεῖρας πετάσας ἔλυσε τὸ δεινὸν, τὸ σιγυνὸν ἰασάμενος. Καὶ δὴ πρὸ τῆς ἐπισκοπῆς, [διὰ] χεῖρας βίον οἰκονομῶν, ὅπου δ' ἂν πιστεύων τὰς χεῖρας ἐπέβαλε, καλῶς ἔσχεν ἅπαντα. Τί γάρ σοι μέλλω φράζειν Εἰρηναίου τοῦ Λουγδουνησίου[6] τὰ ἀνδραγαθήματα ἢ Φαβιανοῦ[7] τοῦ Ῥωμαίου ἢ Κυπριανοῦ τοῦ Καρθαγιναίου[8]; Παρεὶς δ' ἐκείνους, τοὺς νῦν ἀφηγήσομαι· πόσοι παθῶν ἀφανῆ νοσήματα τῇ ψυχῇ τῶν ἀνθρώπων ἐπικείμενα δεινῶς, χεῖρας ἐκτείνοντες εἰς εὐχὴν πρὸς τὸν ἔφορον, ἀφανῶς τοὺς κακουμένους ὡς οὐκ ἴσμεν ἰάσαντο; πόσοι κατηχουμένοις

[1] In textu πρὸς τοὺς τὸ ῥαβδίζοντας; in ext. marg. ἴσ (ἴσως) πρὸς τὸ τοὺς βαδίζοντας. — [2] πίστει. — [3] δικαίων. — [4] κεκωμένῳ. — [5] τοῦ. F. τὸ. — [6] Λογδίνου. — [7] Βλαβιανοῦ. — [8] Χαρταγιναίου.

ἐν τῷ παλαιῷ πυρέτ|ουσι τῆς ἁμαρτίας π|ώματι ἢ νοσήματι χεῖρας ἐπιθέντες καλῶς ἔχειν ἐποίησαν, εἰς τὸ νέον τῆς ὑγείας χάρισμα διὰ λουτροῦ μυσ|ικοῦ καὶ θείου μετάραντες; Οὐ γὰρ τοσοῦτο τοῖς πισ|οῖς ὑπόκειται Φρόντισμα σΦοδρότερον ἐλαύνειν τὰ σωματικὰ πάθη (ταῦτα γὰρ παιδεύειν οἶδε μᾶλλον τὸν ἄνθρωπον ἢ καταπονεῖν τῆς ψυχῆς τὸ πολίτευμα), ἀλλ' ἅπερ εἴωθε κακοῦν τὴν διάνοιαν ἀνδραποδιζόμενα τοῦ λογισμοῦ τὸ Φρόνημα, ταῦτ' ἐλαύνειν συμ-
Fol. 55, r°. βουλίᾳ καὶ πράξει ψυχωΦελεῖ. Ὅθεν, ὡς γε οἶμαι, τοῦ κεΦαλαίου τούτου πι-θανὸν τοῖς ἀκούουσι γέγονε τὸ ἀπόκριμα.

CAPUT XXV.

Solutio de grano sinapis. (Matth. XVII, 19.)

Τὴν δ' ἐπομένην[1] πρότασιν ἀφηγήσομαι περὶ τοῦ « Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν καὶ οὐκ ἀδυνατήσει ῥηθεὶς ὁ λόγος ὑμῶν. »

Ἔθος ἐστὶ τοῖς διδασκάλοις ἅπερ ἴσασιν αὐτοὶ καὶ ποιεῖν νενομίκασι, ταῦτα καὶ τοὺς μαθητὰς διδάσκειν ἐπιτελεῖν· εἰ δ' ὅπερ ὁ διδάσκαλος μὴ ποιήσας ἰσχύρηται, τοῦτο[2] τοὺς μαθητὰς ἐπιτηδεύειν λέγει, ἔργον οὐ διδασκάλου ἀλλ' ἐπιβούλου ποιεῖ, πράττειν ἀναγκάζων ἃ μὴ πράξας πεφώραται· ἀλλ' οὐδ' ὁ μανθάνων, ἅπερ ὁ διδάσκαλος οὐ ποιεῖ, καταδέξεται· οὐ γὰρ θέμις τὸν μαθητὴν ἄλλο τι ποιεῖν ἢ ὅσα λέγοντα καὶ ποιοῦντα βλέπει τὸν διδάσκαλον. Ποῖον οὖν σωματικὸν ὄρος ὁ Χριστὸς ἀπεκίνησε; <ποῖον αἰσθητὸν βουνὸν ἐσάλευσε;> ποῖον ἢ ποτε λόφον τῆς Παλαιστίνης ἔσεισεν, ἵνα μαθηταὶ βλέποντες αὐτὸν ποιοῦντα τοῦτ' ἐζήλωσαν; Εἰ δ' αὐτὸς οὐδὲν τοιοῦτό ποτε ποιήσας φαίνεται, πῶς τοῖς γνωρίμοις ἔλεγεν· « Ἐρεῖτε τῷ ὄρει τούτῳ· Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν[3]; » ποίαν δ' ἀκολουθίαν ἔχει τὸ λεγόμενον, ὄρος ἐξ αἰῶνος δημιουργικῇ ἐρριζωμένον δυνάμει μεταφέρειν εἰς θάλασσαν; Εἰ γὰρ καὶ δυνατὸς ὁ πιστεύων τοῦτο ποιεῖν, ἀλλ' ὁ τῆς ἀκολουθίας θεσμὸς οὐκ ἐπιτρέπει τῆς
[a] Psal. XCII, 1. παντόφου δυνάμεως τὴν τέχνην ἀνατρέπειν, λεγούσης τῆς γραφῆς· « [a]Ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. »

Ἴσχύρηνται γοῦν οἱ Ἀπόστολοι πίστεως ὑπερβολῇ ὑπὸ τὴν οἰκείαν ἐξουσίαν
Fol. 55, v°. εἰληφέναι τὸ τετράδιον τοῦ κόσμου· καὶ οὐ κόκκῳ σινάπεως ὑπῆρχε παραπλήσιος ἡ πίστις αὐτῶν, ἀλλ' ἀκρωρείας[4] μεγέθει πολλῆς καὶ ὑπερνεφοῦς· καὶ τοσοῦτο δεδύνηνται, ὡς πόλεις ἀπ' ἄκρων εἰς ἄκρα μόνῃ τῇ πίστει δουλώσασθαι· οὐδαμοῦ δ' ὄρος αἰσθητὸν τοπικῶς μετεκίνησαν, οὐ Παρνασὸν, οὐκ Ὄλυμπον, οὐκ Ἴδην, οὐ Γάργαρον, οὐ Ταῦρον, οὐ Βόσπορον[5], οὐ τὸ Σίναιον ὄρος· νοητὰ δ' ὄρη πολλὰ πολλῶν ἀπεκύλισαν[6], τοὺς ὀρεινομένους δαίμονας, τοὺς ἐπικειμένους τοῖς ἀνθρώποις ἐλάσαντες. Ἀμέλει τις προφητῶν πρὸς τὸ

[1] Post ἐπομένην ·/. in ext. marg. σοι a rec. manu. — [2] ταῦτα. — [3] In marg. ext. περὶ τοῦ ἐρεῖτε τῷ ὄρει τούτῳ a rec. manu. — [4] ἀκρορείας. — [5] βοόσπορον. De Bospori Cimmerii montibus vide Steph. Byz. v. Βόσπορος. — [6] ἀπεκίλισαν.

[a] Ierem. LI, 25. νοητὸν ὄρος ἐκ προσώπου Θεοῦ μαχόμενος ἔλεγεν· « [a]Ἰδοὺ ἐγὼ πρὸς σὲ τὸ ὄρος [τὸ διεφθαρμένον], λέγει Κύριος, τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν. »

Ἵνα δέ σοι τρανότερον ἔσται τὸ λεγόμενον, αὐτὴν ἄνωθεν ἐρῶ σοι τὴν ὑπόθεσιν. Χαλεπὸν[1] ὁ Ἰησοῦς κατ' ἐκεῖνο καιροῦ φυγαδεύσας δαίμονα τοῦ λεγομένου σεληνιακοῦ παιδὸς, ὀπηνίκα τοῦ αἰσθητοῦ ὄρους κατεληλύθει, λεγόντων αὐτῷ τῶν μαθητῶν, « Πῶς ἡμεῖς οὐκ ἠδυνήθημεν ἐλευθερῶσαι τὸν παῖδα τοῦ δαίμονος; » ὧδε πρὸς αὐτούς φησι· « Διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν· ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, » οὐχ ἁπλῶς ὄρει, ἀλλὰ δεικτικῶς τούτῳ, τῷ νῦν ὑπ' ἐμοῦ μετακινηθέντι ἀπὸ τοῦ κακουμένου. Εἰ γὰρ ἦν εἰπὼν ἄνευ ἄρθρου « Ἐρεῖτε ὄρει· Ἄρθητι καὶ βλήθητι εἰς τὴν θαλασσαν, » ἐνομίσθη ἂν περὶ ὄρους εἰρηκέναι[2] σωματικοῦ· νῦν δὲ μετὰ τοῦ ἄρθρου εἰπὼν, ἔδειξεν ὅτι περὶ τοῦ δαίμονος ἔλεγεν καὶ περὶ τοῦ ὑψώματος τοῦ ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Πολλοὺς οὖν ἤδη
Fol. 56, r°. τοιούτους ὁ Ἰησοῦς ὑπερηφάνους δίκην ὀρέων μεγάλων εἰς θάλασσαν ἔρριψεν ἄρας ἀπὸ τῆς ἀνθρωπίνης διαίτης καὶ διατριβῆς, τοὺς λεγομένους λεγεῶνας μετὰ τῶν χοίρων κατὰ τοῦ κρημνοῦ ἀκοντίσας εἰς θάλασσαν. Ἀλληγορικῶς οὖν ὧδε τὸν ἐγηγερμένον λόφον κατὰ τῶν ἀνθρώπων τοῦ δαίμονος ἔλεγε· καὶ χρὴ γνησίως σε τοῦθ' οὕτως ἀποδέχεσθαι τὸ ῥητόν.

[1] In marg. ext. ὅρα τὴν λύσιν a rec. manu. — [2] Codex in textu εἰκέναι; supra κ nota ·/. posita, in inter. marg. εἰρη a pr. manu.

CAPUT XXVI.

Solutio de dicto : Mitte te deorsum. (Matth. IV, 6, 7.)

Ἐκεῖνο[1] δ' ἐξῆς ἀπαιτεῖν τὸ κεφάλαιον τὸ περὶ τοῦ Χριστοῦ ὑπὸ τοῦ διαβόλου κακούργως εἰρημένον, ἔνθα φησί· « Βάλε σεαυτὸν κάτω, » φίλον γένεσθω σοι νῦν, ὡς ἔνι, τοῦ πράγματος σκοπῆσαι τὴν φύσιν. Δαιμόνιον γὰρ ἡ ἱστορία πειρασμὸν ἔχει καὶ πάλιν· οὐ θέμις δὲ τὸν ἀγωνιστὴν τοῦ ἀντιπάλου ποτὲ συμβουλίαν ἐκδέχεσθαι, (δόξῃ γὰρ ἂν ἡττᾶσθαι πρὸς τὴν τοῦ ἐναντίου φωνὴν σπευδόμενος,) ἀλλὰ δεῖ παντάπασι τὸν ἀνταγωνιστὴν μισεῖν καὶ βδελλύττεσθαι. Εἰ γὰρ καὶ τὰ μάλιστα μέγα τὸ κατόρθωμα τοῦ τὸν Χριστὸν ἑαυτὸν[2] ῥίψαι τοῦ ὑψώματος, ἀλλὰ πολὺν τὸν ψόγον τῆς διαβολῆς ἔχει τὸν παλαιστρίτην ἀθλεῖν νομοθεσίᾳ τοῦ ἀντιπάλου καὶ ἀρχεκάκου[3] δαίμονος. Ὅθεν εἰ καὶ ἐγέγραπτο τοῦτο περὶ τοῦ Χριστοῦ, οὐκ ἐχρῆν ἐξ ὑπομνήσεως τοῦ διαβόλου τοῦτο πρᾶξαι τὸν Ἰησοῦν· κοινὸν γὰρ ἂν οὕτως ὑπῆρχε τὸ γιγνόμενον, τοῦ μὲν εἰπόντος· « Βάλε σεαυτὸν κάτω, » τοῦ δ' ἀμελλητὶ ῥίψαντος· εἰ δὲ κοινόν, ἀνάγκη καὶ φίλιον τὸ κοινῇ γνώμῃ πρατόμενον[4].

Καὶ βλέπε λοιπὸν τὸν ἐγκείμενον ἐν τῷ πράγματι θόρυβον, βλέπε τὴν σύγχυσιν τοῦ πολλοῦ δυσπετήματος· προφητικὸν ὑπὸ τοῦ διαβόλου κινηθὲν κεφάλαιον τοῦτ' ἀκούσας ὁ Χριστὸς τὸ λεχθὲν ἀπεπλήρωσεν, ὡς σπουδαίῳ πεισθεὶς διδασκάλῳ καὶ ῥήτορι· Φεῦ τῆς ἀνοίας! Φεῦ τῆς κακοπραγίας! ὁ ἀθλητὴς πρὸ τῶν ἄθλων τοῖς λόγοις τοῦ ἀντιπάλου φιλικῶς σπένδεται· συρίζει μὲν ὁ δράκων καὶ καλεῖ τὸ θηρίον θολερὰ τῆς πλάνης χαλκεύων τὰ ῥήματα, ἀσμενίζει δ' ὁ Χριστὸς, καὶ τῶν εἰρημένων τὸν νόμον ἀσπάζεται. Ὅσος δὲ τῆς ζημίας ὁ λόγος ἐντεῦθεν ἀνακύπτει, ἐμφανῶς διάθρησον· εἰ γὰρ ἦν ὡς καλὸν ταύτην ὁ Χριστὸς τὴν συμβουλίαν δεξάμενος, καὶ τὴν ἑπομένην ἂν
Fol. 56, v°. ὡς καλὸν ἀπεδέξατο, ἄκων τὸ κακὸν ὡς καλὸν ἐπιτελῶν.

Αὕτη δ' ἦν ἡ περὶ τοῦ « Ἐὰν πεσὼν προσκυνήσῃς μοι. » Οὐ γὰρ ἦν δυνατὸν ἀντειπεῖν τούτῳ τὸν Σωτῆρα ἐν τοῖς προλαβοῦσι πειθηνίως συνείξαντα[5]· εἰπόντος γὰρ αὐτῷ δηλαδὴ τοῦ διαβόλου « Ποίησον τοὺς λίθους ἄρτους » καὶ,

[1] Ante ἐκεῖνο, semicircul. pallid. atram. et in marg. exter. ἕτερον κεφάλαιον a rec. manu. — [2] In textu Χριστὸν ·/. ῥίψαι, in ext. marg. ·/. ἑαυτὸν a pr. manu. — [3] ἀρχαικάκου. — [4] τὸ γιγνόμενον ·/., τοῦ μὲν — βλέπε τοίνυν] in infima marg. verba omissa addita sunt a pr. manu. — [5] συνείξοντα.

« Βάλε σεαυτὸν κάτω, » ἀνάγκη καὶ τὸ προσκυνῆσαι τοῦ διαβόλου λέγοντος καὶ μὴ ἀντειπεῖν ἐκ προλαβούσης αὐτὸν ὑπακοῆς κατεχόμενον. Ὁ γὰρ ὡς καλοῖς τοῖς προλαβοῦσι δύο καταπειθόμενος καὶ τῷ τρίτῳ δῆλον ὡς καλῷ πεισθεὶς προσεκύνησε τῆς θείας οὐσίας τὴν φύσιν ἀρνησάμενος· σπουδὴ γὰρ πᾶσα καὶ τέχνη τοῦ δαίμονος δύο πεύσεις πιθανὰς τῷ Χριστῷ προβαλέσθαι, ἵν' ἐν τούτοις ποιήσας αὐτὸν πειθήνιον ἐν τοῖς ἑπομένοις ἕτοιμον εὕρῃ καὶ ὑπακούοντα· συνιδὼν δ' αὐτοῦ τὴν κακίαν[1] μακρόθεν ὁ Ἰησοῦς τοὺς ἀκροβολισμοὺς τῶν πειρασμῶν[2] εὐθὺς ἀπεκρούσατο. Εἰ καὶ γὰρ προφητικὸν ἦν τὸ λεχθὲν εἰς αὐτὸν κεφάλαιον, διὰ τὴν ἑπομένην τοῦτ' οὐ πράττει κακίαν, ἵνα μὴ τοῖς οἰκείοις ὑπὸ τοῦ Βελίαρ ῥιπτομένοις[3] βέλεσιν, καιρίαν λαβὼν τὴν πληγήν, οἰχήσεται. Ὅτι γὰρ ἴδιον αὐτοῦ δηλαδὴ τοῦ Σωτῆρος τὸ προφητικὸν λόγιον καὶ εἰς αὐτὸν ἐλέχθη, παντί που δῆλον ὑπάρχει· ὅτι δὲ[4], καθάπερ πολέμιος στρατιωτικὴν ὑποκλέψας φαρέτραν, δι' αὐτῆς τὸν βασιλέα τῶν αἰώνων ἐτόξευεν, ἰδίοις αὐτὸν ὅπλοις κατασφάξαι βουλόμενος, καὶ τοῦτο προϋπτον καὶ πᾶσιν ἀρίδηλον. Ὅθεν ὁ Χριστὸς τὴν ἑαυτοῦ κατ' αὐτοῦ παρασκευασθεῖσαν πανοπλίαν θεώμενος ἀπωθήσατο ταύτην, ἵνα μὴ δι' αὐτῆς ἡττηθεὶς προσκυνήσῃ τὸν ἀσεβῆ. Ταύτης, ὦ τὰν, τῆς αἰτίας ἕνεκεν ὁ Χριστὸς ἑαυτὸν οὐκ ἔβαλεν ἀπὸ τοῦ ἱεροῦ κάτω. Καὶ ταῦτα μὲν ὧδε.

Fol. 57, r°.

[1] τὴν κακίαν in ext. marg. — [2] πειρασμὸν (ὸν comp.). — [3] Pr. lect. ῥιπτόμενον (ον comp.); alt. ῥιπτόμενος (ον comp. mutato in ος comp.). — [4] ὅτι δε τοῦτο.

CAPUT XXVII.

Solutio de dicto : Dixit Petro : Vade post me, Satana. (Matth. xvi, 23.)

Τὰ δὲ περὶ τοῦ Πέτρου βασανιστέον[1] ἤδη· ὄντως γὰρ δεῖται βασάνου καὶ πολλῆς ἀφηγήσεως. Ἡ τῶν Ἀποστόλων ἡ κρηπὶς ὑπὸ τηλικούτου σεσάλευται θορύβου· ἢ τῶν εὐαγγελικῶν πραγμάτων ἡ κορυφὴ τοσούτῳ τῆς ἀηδίας τῷ νέφει συγκέχυται. Εἰ Πέτρος σκάνδαλον καὶ Σατανᾶς ὑπὸ τοῦ Χριστοῦ καὶ πρόσκομμα κέκληται, εἰ Πέτρος ἀσύγγνωστα πλημμελήσας ἀπελέγχεται, ὅλος τῶν Ἀποστόλων ὁ χορὸς διαβέβληται, τῆς πίστεως μικροῦ δεῖν ἀνέσπασται τὸ ῥίζωμα. Χρὴ γοῦν ἰδεῖν τὸν χρόνον καὶ τὸν τόπον ἐν ᾧ τοῦτο λέλεκται, ὅπως τὸ πρᾶγμα κρίνωμεν καὶ τοῦ πράγματος τὸν νοῦν ψηλαφήσωμεν.

Ἐν Καισαρείᾳ τῇ λεγομένῃ Φιλίππου ἠρώτα τοὺς μαθητὰς, τίνα λέγουσιν αὐτὸν οἱ ἄνθρωποι· οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· Οἱ μὲν Ἰωάννην, οἱ δὲ Ἠλίαν, οἱ δὲ ἕνα τῶν Προφητῶν· εἶτα πρὸς αὐτούς· « [a]Ὑμεῖς δὲ τίνα με λέγετε[2] εἶναι; » ἀποκριθεὶς ὁ Πέτρος φησί· « Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Θεασάμενος δ' ὁ Χριστὸς λαμπρὸν οὕτω τὸν Πέτρον ἐκ πατρῴας χάριτος ἐξαίφνης γεγενημένον καὶ τοσαύτην εἰς αὐτὸν ἐλθοῦσαν τὴν θείαν[3] ἀποκάλυψιν δίδωσιν αὐτῷ τῆς ἀνενδοιάστου πίστεως τὸ ἐπάγγελμα καὶ μακαρισμῷ τοῦτον ἀνυψοῖ βεβριθότι φάς· « [b]Μακάριος εἶ Σίμων βὰρ Ἰωννᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ[4] σοι » τὸ ἄφραστον τοῦ[5] τοσούτου πράγματος μυστήριον ἀλλ' οὐδέ τις Ἀγγέλων οὐδὲ τῶν ἀσωμάτων ἀξιωμάτων ὕπαρχος, οὐδεὶς τῶν ὑπερκοσμίων δυνάμεων λειτουργὸς, ἀλλ' αὐτὸ τὸ ἄφραστον ἀγαθὸν καὶ ἀΐδιον ἡ ἀθάνατος πηγὴ τῆς ἡμετέρας[6] γενέσεως ὁ Πατὴρ ὁ ἐν τοῖς[7] οὐρανοῖς· ὅθεν ἀξίαν τῆς χάριτος ἐπωνυμίαν λάμβανε καὶ Πέτρος ἔσο, πέτραν ἀκαταμάχητον παντὶ τῷ κόσμῳ δεικνὺς ἀσάλευτον, τὴν γνώμην καὶ τὸν λογισμὸν κεκτημένος ἀκίνητον, τῷ ἀσαλεύτῳ τήμερον τῆς μακαρίας οὐσίας μαρτυρήσας.

Τούτων[8] οὖν εἰκὸς ἐπακούσαντα τῶν λόγων τὸν ἀπατηλὸν θῆρα καὶ ὧν εἶπεν ὁ Πέτρος μαρτυρῶν τῷ Σωτῆρι, διὰ σπουδῆς παντοίας ποιεῖσθαι μη-

[a] Matth. xvi, 15, 16.

Fol. 57, v°.

[b] Matth. xvi, 17.

[1] βανιστέον. In ext. marg. περὶ τοῦ πέτρου a rec. manu. — [2] λέγεται (αι comp.). — [3] τὴν θείαν in ext. marg. — [4] In textu οὐκάλυψέ; in ext. marg. ουκάπε. — [5] τοῦ superscriptum. — [6] In textu ὑμετέρας; in ext. marg. ἡμετέρας a pr. manu. — [7] τῆς; in ext. marg. τοῖς a rec. manu. — [8] In ext. marg. comp. σημείωσαι.

χανῇ μὲν τὸν Πέτρον γυμνῶσαι τῆς ἀξίας, δόλῳ δὲ σοφιστικῷ τὴν μαρτυρίαν ἀνατρέψαι τοῦ Χριστοῦ καὶ τὴν οἰκονομίαν ἐναλλάξαι τοῦ πάθους· ᾔδει γάρ, ᾔδει σαφῶς ὡς τὸ πάθος τοῦ Χριστοῦ τῆς τυραννικῆς αὐτοῦ κακίας ὑπάρχει κατάλυσις, διὸ καὶ παρεμποδίζειν ἠβούλετο τῷ σταυρῷ. Ὅθεν[1] λόγους ἀσαφεῖς
Fol. 58, r°. ὑποσπείρων τῷ Πέτρῳ ἔλεγεν· «[a]Ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο.» Ὅθεν γνοὺς ὁ Ἰησοῦς ὡς οὐ Πέτρου τὸ ῥῆμα ἀλλ' ὑποβολὴ τοῦ Σατανᾶ τὸ λεχθὲν, εἶπεν· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ,» ἵνα καὶ νῦν ἐπιγνῷ τὸ οἰκεῖον ὄνομα καὶ μακρὰν ἐλαθῇ τοῦ χοροῦ τῶν μαθητῶν, λέγει· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ·» τὰ γὰρ ἔμπροσθέν σου πάντα περικέκοπται. Καὶ πρὸς μὲν τὸν
[a] Matth. xvi, 22.
[b] Matth. xvi, 23. Σατανᾶν ταῦτα· πρὸς δὲ τὸν Πέτρον φησί· «[b]Σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων,» ὑποβολῇ πεισθεὶς ἀρχεκάκου Βελίας. Καὶ περὶ μὲν τοῦ λεχθῆναι τῷ Πέτρῳ· «Ὕπαγε ὀπίσω μου Σατανᾶ,» ταῦτα.

Λαβὼν γὰρ ἐπιτιμίαν ἀξίαν τοῦ σφάλματος, μεγάλα τοὺς μαθητὰς διατραπεὶς ὠφέλησε[2], τοῦ μή τινα τοῦ λοιποῦ ἐκ μικρολογίας τὸ τῆς οἰκονομίας ψιθυρίζειν μέγεθος. Εἰ γὰρ ὁ πρὸ μικροῦ ἀστείῳ πίστεως ὀφθαλμῷ καὶ μαρμαίροντι[3] τὴν ἀψῖδα τῶν οὐρανῶν αὐτὴν ὑπερκύψας καὶ τοὺς πυρίνους τῶν Σεραφὶμ ποταμοὺς ἐκπεράσας καὶ τὴν εὐγένειαν ἰδὼν τοῦ Μονογενοῦς υἱοῦ ἅμα τῷ Πατρὶ κάλλει τῶν ἀσωμάτων ὑπερασπράπλουσαν λειτουργῶν, κἀκεῖθεν ἱκανῶς τὴν ψυχὴν ὠφεληθεὶς καὶ γνήσιον ἐν πίστει τῆς ὁμολογίας τὸν λόγον λύσας, ἀιφνίδιον οὕτως ἐξ ὑποθήκης βασκάνου συμβούλου[4] ἐπὶ βλάβῃ τοῦ κόσμου καὶ ζημίᾳ τοῦ κοινοῦ τὴν ἀνωφελῆ προσφέρει συμπάθειαν, τραγῳδῶν ἃ μὴ θέμις καὶ προχείρως φθεγγόμενος, Ἵλεώς σοι Κύριε, δικαίως ταύτην παρὰ τοῦ Χριστοῦ λαμβάνει τὴν[5] ἐπίπληξιν. Τί ἂν ἐτόπασεν ἕκαστος σφαλλόμενος[6]
Fol. 58, v°. πείσεσθαι, βλέπων ὡς Πέτρος Υἱὸν μὲν Θεοῦ τοῖς ἀκούουσι τὸν παρόντα μηνύων, ὡς ἄνθρωπον δὲ τοῦτον θέλων ἐν τῷ βιοτεύειν ἐπὶ πολὺ, καὶ γῇ τὸν ἅγιον ἐμβραδύνειν[7] ἀπρεπῶς καὶ μὴ τὴν οἰκονομίαν τοῦ πάθους τελέσαντα τῇ μὲν τῶν ἀνθρώπων ἐπαρῆξαι πενίᾳ, τῇ δὲ τῶν κειμένων ἐπαμῦναι πενίᾳ, ταχινὴν δὲ τὴν ἄφιξιν εἰς τὴν ἄνω περιωπὴν ποιῆσαι καὶ σύντομον τὸν οἰκεῖον τῆς βασιλείας ἀπολαβόντα θρόνον, τοὐναντίον δὲ τῷ λόγῳ τοῦ Πέτρου πειθόμενον ἐμφιλοχωρῆσαι τῷ χθαμαλῷ καλύβῃ καὶ ταύτην ἀσπάσασθαι τὴν ἐφύβριστον δίαιταν, τὴν ἀλγεινὴν ὄντως ζωὴν καὶ ἐπάρατον, καὶ τὸν κοινὸν ὀψὲ περιμένειν θάνατον, τὸν ἐπακτὸν καὶ μεσὸν οἰκονομικῆς σωτηρίας ὑπάρ-

[1] In ext. marg. ὅρα τὴν λύσιν ἐντεῦθεν a rec. manu. — [2] ὠφέλισε. — [3] μαρμέροντι. — [4] ἐπὶ βλάβῃ = ἀνωφελῆ προσφέρει in ext. marg. addita sunt a pr. manu. — [5] τὴν superscriptum. — [6] σφαλόμενος. — [7] ἐβραδύνειν.

χοντα ἐκ τῆς συμβουλίας τοῦ Πέτρου παραιτησάμενον; Ὅθεν εὐλόγως καὶ μεγάλως πιστεύσαντα μεγάλως ἐπετίμησε καὶ μεγάλως παίσαντα τὸν θαυμάσιον Πέτρον μεγάλως ἐλύπησεν. Εἰπόντα γὰρ αὐτόν, « Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, » εἰς αὐτὴν ἀνήγαγε τῆς ἀξίας τὴν κορυφὴν, κλειδάρχην αὐτὸν ποιήσας καὶ αὐλάρχην τῆς ἄνω βασιλείας· ἔπρεπε γὰρ τὸν εἰδότα τῶν ἀχράντων ἀνακτόρων εἴσω που τὸν βασιλέα σεμνῶς καθεζόμενον τοῦ κλείειν καὶ ἀνοίγειν λαβεῖν τὴν ἐξουσίαν, ἐπὶ τῷ τοῖς ἐρχομένοις ἑρμηνεύειν ὡς εἰδότα τὸ σθένος τοῦ κρείττονος, καὶ τοὺς οὐκ ἀναλόγους τῆς μακα-
Fol. 59, r°. ρίας θέας ὡς εἰδήμονα τούτων[1] εὐλόγως ἀποκλείειν.

Ὁ γὰρ τῆς ἀθανασίας ἀθρήσας τὸ ῥίζωμα καὶ τὴν ἀένναον πηγὴν τῆς ζωῆς θεασάμενος εἰκότως καὶ τὴν ἀφήγησιν[2] τούτων τῆς εἰσόδου καὶ ἐξόδου δέχεται. Ἡ γὰρ τῶν λόγων περίφρασις ὑπὸ τοῦ Πέτρου σὺν ἄρθροις γενομένη πᾶσαν τοῦ θείου δόγματος τὴν ἀκρίβειαν ἠσφαλίσατο, ἀσάλευτον τῆς μοναρχίας τὸ κράτος μηνύουσα καὶ ἀκίβδηλον τῆς ἀληθείας τὴν εἰκόνα φυλάττουσα· εἰπὼν γὰρ ὁ Πέτρος οὐ· « Σὺ εἶ Χριστός » ἀλλ' « ὁ Χριστὸς, » κα᾽ οὐ « Σὺ εἶ Υἱός » ἀλλ' « Ὁ Υἱός, » καὶ οὐ « Σὺ εἶ Θεοῦ, » ἀλλὰ « τοῦ Θεοῦ, » καὶ οὐ « Σὺ εἶ ζῶντος » ἀλλὰ « τοῦ ζῶντος, » πάντα μετὰ τοῦ ἄρθρου βοῶν γεγωνύτερον τῆς μακαρίας ἐμήνυσεν οὐσίας τὸ ἐξαίρετον, τῆς μονοειδοῦς φύσεως ἐμήνυσε τὸ ἰδίωμα· ὄντως οὐρανίου Πατρὸς ἀποκαλυψις τὰ λεγόμενα, ὄντως φωνὴ μονογενὴς μαρτυροῦσα Μονογενεῖ. Ἐπειδὴ γὰρ πολλοὶ χριστοὶ, εἷς δ' ὁ κατὰ ἀλήθειαν μετὰ τοῦ ἄρθρου λεγόμενος[3], καὶ πολλοὶ μὲν υἱοὶ, πολλοὶ δὲ θεοὶ, πολλοὶ δὲ ζῶντες, εἷς δὲ μόνος ἀληθῶς ζῶν καὶ Θεοῦ Υἱὸς, ὅταν ἔχῃ τὸ ἄρθρον, οὕτως υἱοὶ Θεοῦ λέγονται πολλάκις οἱ Ἄγγελοι ἄνευ τοῦ ἄρθρου, ὀνομασίᾳ τετιμημένοι, εἷς δ' ὁ Μονογενὴς, ᾧ μόνῳ τὸ ἄρθρον ἀκριβῶς μεμαρτύρηκεν, οὕτω θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ, ἀλλ' οὐδεὶς ἐκείνων Θεὸς ἢ δημιουργὸς ἢ Κύριος, τοῦ ἄρθρου λειπόμενος, εἷς δὲ Θεὸς ποιητὴς καὶ εἷς Κύριος βασιλεὺς, ὁ τῆς μονότητος ἔχων συστατικὸν τὸ ἄρθρον. Πέτρος οὖν οὐκ ἐξ αἱμάτων οὐδὲ σαρκῶν τοῦτο παιδευθεὶς τὸ μυστήριον, ἀλλ' ἐξ ἁγίου Πνεύματος μαθὼν ἀκρι-
Fol. 59, v°. βῶς τὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ σὺν ἄρθρῳ τὴν θεότητα βοᾷ καὶ μαρτύρεται· διὸ καὶ μακαρίζεται καὶ Πέτρος ὀνομάζεται, τῆς ἀσαλεύτου πέτρας κηρύττων[4] τὸ ἀκίνητον. Τοσοῦτον γοῦν αὐτὸν καὶ τηλικοῦτον ὁρῶν ὁ μισόκαλος δαίμων βράττεται κατ' αὐτοῦ καὶ τῷ φθόνῳ λυμαίνεται καὶ πᾶσαν ἀπάτης μηχανὴν ἐκτεχνάζεται, ὅπως σκελίζηται[5] τὸν ἐν τῇ πέτρᾳ βεβηκότα καὶ μένοντα, πῇ

[1] τοῦτον. — [2] καὶ τὴν ἀφήγησιν in ext. marg. — [3] In ext. marg. comp. σημείωσαι. — [4] κυηρύττων. — [5] τὸ πῶς σκελίζεται.

μὲν ὡς ἄνθρωπον αὐτὸν πείθων τῆς ἐπαγγελίας ἀνάξια φθέγγεσθαι, πῆ δὲ συναλγεῖν ἀπρεπῶς τῷ Πατρὶ παρεγγυῶν.

Ὅθεν παρ' αὐτὰ τῆς ἀκαιρίας αὐτὸν ὁ Χρισὸς διορθούμενος ἔσλιξεν ἐπιτιμήσας αὐσηροτάτῃ φωνῇ· οὕτω κἀπὶ τῆς ἐφόδου τῶν ἀρχιερέων νικηθέντα τῷ πάθει καί τινος τῇ μαχαίρᾳ τὸ ὠτίον[1] παίσαντα οὐ μικρῶς ἐνέτριψεν ἐν τῷ τὴν πληγὴν ἀποκαθᾶραι ῥᾷον· οὕτως αὐτὸν προπετῶς τῇ γλώτῃ σφαλλόμενον οὐ τῇ τῶν ῥημάτων προφορᾷ κατεδίκαζεν, ἀλλὰ τὸν πόθον τῆς ψυχῆς ὁρῶν ἐδοκίμαζεν, εἰδὼς [ὡς] τὸ βαμβαῖνον σλόμα καὶ τροχαλὸν, ὁ νοῦς [οὐχ] ἱκανὸς[2] κατασχεῖν ἐν ἀγάπῃ.

[1] τὸ ὠτίον in ext. marg. pr. manus. — [2] ἱκανῶς.

CAPUT XXVIII.

Solutio de Ananiæ et Saphiræ morte. (Act. v, 1-11.)

Τὸ μέντοι γενόμενον αὐτῷ κατὰ τὸν Ἀνανίαν καὶ Σάπφειραν[1] κριτήριον, εἴ γε τὴν ἱστορίαν ἀναγνωσθῆναί σοι βούλει, καθολικὸν ὄντως καὶ πολλῶν παιδευτήριον φανεῖταί σοι τὸ πραχθέν. Ἀνανίας γὰρ κακίας ἐν τῇ ψυχῇ δεξάμενος νόσημα, τούτου καὶ τῇ γυναικὶ λαθραίως[2] μετέδωκε. Τῆς γὰρ εὐαγγελικῆς
Fol. 60, r°. αὐτόθι τοῖς ἀνθρώποις κηρυττομένης δωρεᾶς καὶ τῶν κηρύκων κανόνι τῆς εὐσεβείας ἀγόντων τὸ ὁμόφυλον, πᾶσα μὲν ἐπὶ τοῖς παραδόξοις ἡ πληθὺς ἐξενίζετο, ἡ δ' ὑπερόριος φήμη τῶν πρατομένων τὸν νοῦν τεθορύβητο· ἱκανὰ γὰρ τέρατα καὶ σημεῖα παράδοξα τῶν μὲν ἱστορούντων τὰς ὄψεις ἐπήγετο, τῶν δ' ἀκουόντων ἐψυχαγώγει τὸ πρόθυμον, ὡς μικροῦ πᾶν ἔθνος ὁρμῆσαι εἰς τὴν κοινὴν τῆς σωτηρίας ἀπόλαυσιν, ὡς ἀναλαβεῖν τῶν ὑπερκοσμίων ἀγαθῶν τὸν ἔρωτα, ὡς τῶν τῇδε καταφρονῆσαι βελτίονι λογισμῷ, ὡς ῥίψαι πᾶσαν ἐν γῇ τὴν ἐπίμαχον ὕπαρξιν, ὡς πλερῷ τῆς προθυμίας αὐτὸν ἤδη λαβεῖν τὸν οὐρανὸν εἰς οἴκησιν, ὁμοδίαιτον Ἀγγέλων ζωὴν ἀσπαζομένους. Ἐκεῖθεν γνώμη λαμπρὰ καὶ νοῦς ἔφηνε τρανὸς καὶ ἀκίβδηλος, ἐκεῖθεν ἄσλυ[3] καὶ ἀγρὸς καὶ προάσλεια τῷ τῆς χάριτος ἔσπευδον ποτίζεσθαι νάματι, ἐκεῖθεν τὴν σωματικὴν τῶν πραγμάτων ὕπαρξιν ὡς ἄχθος καὶ ζημίαν τῶν ψυχῶν ἐνόμιζον, ἐκεῖθεν ἀνυπέρθετον τῶν καλῶν τὸ ἀγώνισμα, ἐκεῖθεν κοινὸς ὁ βίος καὶ τῶν ὑπαρχόντων ἡ κτῆσις ἀμέρισλος, ἐκεῖθεν ἐπιμιξία πλούτου καὶ πενίας καὶ δόσις καὶ λῆψις τὴν ἀνθρωπίνην ἀγέλην ἐκυβέρνα, ἐκεῖθεν τὸ ἔχειν ὡς μὴ ἔχειν ἐκρίνετο καὶ τὸ μὴ ἔχειν ὡς ἔχειν κλέος ἐπιφανέσλατον· πάντες ὥσπερ ἦσαν εἰς εὐδαίμονα βίον καὶ ζωὴν[4] μεταραντες, θείῳ τὴν ψυχὴν φλεγόμενοι καύσωνι, καὶ τοῦ κρείττονος τὸ δίψος ὅλως οὐχ ὑπομένοντες· πανήγυρις ἦν, οὐράνια τότε τὰ πρατλόμενα, θέατρον εὐσεβείας οἷον οὐπώποτε γεγένητο· πλοῦτος ἦν τότε μισητὸν καὶ τῶν ὑπαρχόντων ἡ κτήσις[5] ἐφύβρισλον· ἁπαξ-
Fol. 60, v°. πλῶς[6] τῶν Ἀποστόλων ὑπὲρ ἥλιον τῆς διδασκαλίας ὁ λόγος ἐξέλαμπε τοῦ συνειδότος αὐτοῦ φωτίζων τὰ ἀπόκρυφα, ὡς λοιπὸν ὁρμῆσαι πάντας ἐπὶ τὴν

[1] In ext. marg. περὶ ἀνανίου καὶ σαπφείρης. — [2] λαθρέως. — [3] άσλη. — [4] ζωὴν in ext. marg. — [5] κτίσις. — [6] ἁπαξπλῶς.

τοσαύτην τῶν ἀγαθῶν πανήγυριν καὶ μίαν τῶν πολλῶν, ἐν μεσιτείᾳ Πνεύματος, τὴν ψυχὴν ἀναφαίνεσθαι, διαθέσει πνευματικῇ τῆς ζωῆς κεκραμένης.

Τούτων οὕτως ἐχόντων καὶ τῶν πραγμάτων οὕτω κυβερνωμένων δεξιῶς, Ἀνανίας σὺν Σαπφείρᾳ κοινωνὸς τῆς τοσαύτης εὐωχίας ἐγίνετο καὶ τῶν παραδόξων ἔργων ἅμα τῇ γυναικί. Πολλῶν γοῦν τὰς οὐσίας εἰς ὄνομα τοῦ Χριστοῦ τοῖς Ἀποστόλοις διδόντων ἐπὶ τῷ τὴν πενίαν προφάσει τῆς ἐνδείας πρὸς τὸ κοινὸν μὴ βραδύνειν τῆς πίστεως, ἀλλὰ τῶν ἀναγκαίων τὴν χρῆσιν ἄφθονον εὑρίσκοντες ἐφαμίλλως τοῖς ἔχουσιν αὐτομολεῖν εἰς τὸ κήρυγμα, ἐβουλήθη καὶ αὐτὸς κτῆσιν ἔχων ἐν ἀγρῷ, ταύτην ἀπεμπολῆσαι, ἀνάθημα τὸ πᾶν τῆς τιμῆς εἶναι κρίνας. Ὃ γοῦν ἐδωρήσατο τῇ προαιρέσει τῷ Χριστῷ, οὐκέτι κύριος ἦν τοῦτο σφετερίζεσθαι· ἱεροσυλία γὰρ ὑπάρχει τὸ τοιοῦτον, δοῦναι μὲν τὸ κτῆμα, πάντων εἰδότων, τῷ Θεῷ, λάθρα δὲ μέρος αὐτοῦ, μηδενὸς εἰδότος, ὑφαιρεῖσθαι[1] δουλοπρεπῶς· οὐδεὶς γὰρ τὰ ἴδια κλέπτων φωρᾶταί ποτε, οὐδ' ὧν ἐξουσίαν ἔχει κρυφῇ λαβὼν ἐπαινετός· οὐ γὰρ τὸ πρᾶγμα φαῦλον, ἀλλ' ἡ τοῦ πράγματος γνώμη διαβέβληται.

Ὅθεν[2] ἵνα μὴ συγχωρηθὲν τότε τῷ Ἀνανίᾳ τὸ τόλμημα πᾶσαν τῶν πιστευόντων κακώσῃ τὴν σύναξιν, εἰς ὅμοιον πάντας ἐμβαλὸν ἀρρώστημα, γυμνοῖ τὸ πάθος ὁ Πέτρος ὑπ' ὄψιν τῶν παρόντων, οὐχ ἵνα τὸ προλαβὸν καθάρῃ πλημμέλημα (τοῦτο γὰρ ἤδη πέπρακτο), ἀλλ' ἵνα τὸ μέλλον ἀνατρέψῃ νόσημα καὶ τῶν ἄρτι πιστευσάντων[3] [τὴν γνώμην] παιδεύσῃ, ἰατρὸν ἱκανὸν μιμησάμενος[4], ὃς[5] ἐν μεγάλῳ σώματι νομὴν ἀρρωστίας ῥιζόθεν ἀποτεμὼν τὸ πᾶν ὑγιαίνειν ἐν ῥώσει καθίστησιν. Οὐκ ἦν γοῦν εἰς Πέτρον τὸ πραχθὲν ἀδίκημα (ὅθεν οὐδὲ φιλανθρωπίας συγγνώμην ἀπείληφεν), ἀλλ' εἰς τὸ θεῖον αὐτὸ καὶ πρὸς τὸ τὴν πίστιν κλονηθῆναι ῥιζόθεν ὑπῆρχε τὸ τόλμημα. Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς Ἀνανίας ἅμα τῇ γυναικὶ, μὴ γενομένου τοῦ τῆς δίκης ἐλέγχου, εἰς ἀπέραντον ἂν κατέπεσε τοῦ σκανδάλου βάραθρον· εὐθὺς γὰρ ἂν ἐτόπασεν, εἴ γε μὴ ἐλέλεγκτο, ὡς ὁ Χριστὸς τῶν κρυφῇ[6] γιγνομένων οὐκ ἔχει τὴν εἴδησιν, οὐ καλῶν οὐδὲ κακῶν τὸν λόγον ἐπίσταται καὶ χαλεπὸν ἐντεῦθεν ἐν[7] τῷ τῆς ψυχῆς ἀδύτῳ δόγμα συνεκρότησε <φάς>[8], τὰ πρόχειρα καὶ τὰ φαῦλα σκεπτόμενος, λέγων· Εἰ λανθάνει τὸ θεῖον τὰ τῶν ἀνθρώπων ἐν κλοπῇ πρατόμενα, τί κωλύει πᾶν, εἴ τι γοῦν [λυσιτελεῖ] ἐπιτελεῖν αἴσχιστον, ὁπότε λόγος οὐδεὶς οὐδὲ ἔλεγχος οὐδαμοῦ τούτου καὶ κατήγορος; Οὕτω δὲ κακῶς τὴν φρένα διατεθεὶς πᾶσι μὲν τοῖς ἀτόποις ἔργοις ἀπετόλμησε, πᾶσαν δὲ δυσσεβείας[9] κακίαν ἂν ἔδρασεν ἄθεσμον, ἐν ἑαυτῷ τὴν ψῆφον νομοθετῶν καὶ κοινωνοὺς τοιαύτης ἐπαράτου

Fol. 61, r°.

[1] ὑφερεῖσθαι. — [2] Comp. σημείωσαι. — [3] ἀντιπιστευσάντων. — [4] μιμισάμενος. — [5] ὅσον. — [6] ἐν κρυφῇ. — [7] ἐν in marg. pr. manus. — [8] Delendum videtur. — [9] δυσεβείας.

Fol. 61, v°. γνώμης πολλοὺς ἐν πολλῷ χρόνῳ ποιησάμενος, λοιμός τις οἷα πολὺς καὶ δυσίατος ἐνσκήψας τότε καὶ πάντας νεμόμενος. Ὅθεν ἵνα μὴ τοῦτο τοῖς πιστεύουσιν αὐτόθι συμβῇ τὸ τραγῴδημα, γνοὺς ὁ Πέτρος θᾶττον ἐκτέμνει τὸ νόσημα, συνεκτέμνων τὸ μέλλον τῆς κακίας ἀρρώστημα· ὡς γὰρ ἀκανθῶν δὴ βλάστησιν λεληθότως ἐν ληΐοις ἀρούρης ὑφέρπουσαν, τὸν πόνον τοῦ γεωργοῦ λυπεῖν μέλλουσαν, ῥιζόθεν ἀνέσπασε, τὴν λογικὴν τῆς βλάβης χώραν ἐλευθερώσας.

Τί γοῦν ἐστιν ὅπερ τῷ Ἀνανίᾳ Πέτρος διαλέγεται, αὐτόθεν ἐπάκουσον· « Τί ὅ τι ἔδοξεν ὑμῖν, φησὶ, πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον; » ὁρᾷς ὡς ἐπείρασεν εἴ γε τὸ Θεῖον οἶδεν ἢ λανθάνει τὰ δρώμενα. Καὶ τοῦτ' ἀκούσας, αὐτόθεν ἀπέψυξεν ὑπὸ τοῦ ζέοντος ἐν ἀγάπῃ Πνεύματος καταλειφθεὶς[1] καὶ τῷ ψυχρῷ τῆς κακίας ἀποψυχεὶς χειμῶνι· οὐ γὰρ ἐξ ἀποφάσεως μαχαίρᾳ κρουσθῆναι τὸν Ἀνανίαν, ὡς ἔφης, ὁ Πέτρος ἐκέλευσεν, ἀλλὰ μόνον εἰπών· « Τί ὅ τι ἔδοξεν ὑμῖν πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον; » τὸ συνειδὸς πλῆξαν τὴν ψυχὴν ἀνάλωσε. Δικαίως οὖν Ἀνανίας ἀνάνδρως ἀποθανὼν καὶ Σάπφειρα συμφορᾶς γενόμενη[2] πρόφασις τὸ πλῆθος τῶν πιστευσάντων ἱκανῶς ἐσωφρόνισαν[3] καὶ Πέτρος τοῦ παθεῖν ἀμφοτέρους ἀναίτιος.

[1] καταληφθεὶς. — [2] γινόμενοι. — [3] ἐσωφρόνησαν.

CAPUT XXIX.

Solutio de Petro e carcere liberato ab Angelo. (Act. XII, 5-11.)

Λοιπὸν[1] ἴδωμεν τὰ κατὰ τὴν εἱρκτὴν αὐτοῦ θαυμάσια τέρατα, ὡς Ἡρώδης αὐτὸν ἐγκλείσας οὐ κατέσχε, καίπερ καθηκεύων[2] τοῖς Ἰουδαίοις πολλὰ καὶ
Fol. 62, r°. βουλόμενος δημοσίως αὐτὸν τιμωρήσασθαι. Χρισ̣τομάχῳ γὰρ λύτ̣ῃ καθοπλίσας ἑαυτὸν τὸν μὲν Ἰάκωβον ἀνεῖλεν ἀναιτίως μαχαίρᾳ, σπουδῇ δὲ τὸν μέγαν ἐν μεγάλῳ θεάτρῳ φονεῦσαι βουλόμενος τέως ἐφυλάκισεν, ἵνα μέγαν ἐπ' αὐτῷ τῆς ἀταξίας τῶν Ἰουδαίων ἀνακαινίσῃ τὸν ἐσμόν· Ἄγγελος δ' οὐρανόθεν ἀψόφῳ[3] τῇ πα̣ρουσίᾳ κατ' αὐτὸ τῆς νυκτὸς τὸ μεσαίτατον <ἀφήγημα>[4] εἰσελθὼν ὡς τὸν Πέτρον τῶν ὕπνων ἀπέσπασε καὶ ζώσας αὐτὸν καὶ τῆς Φυλακῆς ἀνάξας σωθῆναι συνέπεισε, τὴν ἔκτοπον ἀκυρώσας Ἡρώδου πα̣ρασκευήν· ὕπνῳ[5] γὰρ ὁ Ἄγγελος πεδήσας τοὺς Φύλακας τὸν Πέτρον ἀκαμάτως τῆς ἀλύσεως ἔλυσε καὶ τῆς εἱρκτῆς τὴν πύλην λύσας ἀπὸ τοῦ κλείθρου ἐπὶ τὴν πύλην τῆς ζωῆς αὐτὸν ἐξέπεμψεν[6].

Οὐ γὰρ ἔφυγεν, ὡς ἔφης, δειλιῶν τὸν θάνατον, ἀλλὰ τὸν ἐπίσημον τῆς τελευτῆς χρόνον ἐξεδέχετο κἀν τῇ βασιλευούσῃ πόλει τὸν βασιλέα Χρισ̣τὸν κηρῦξαι πρῶτον ἔκρινεν, εἶθ' οὕτως ἐν αὐτῇ τὸν ἀοίδιμον[7] τοῦ σ̣ταυροῦ θάνατον ἀναδέξασθαι. Ἐχρῆν πρῶτον λύχνον μέγαν λάμψαι τοῖς ἐν ἀγνοίᾳ καὶ τέλος ὡς ἐπὶ μεγάλης λυχνίας τῆς πόλεως τοῦ μαρτυρίου τὴν δᾳδουχίαν ἀνάψαι· ταύτης ἕνεκα τῆς σοφῆς πραγματείας ὁ καθολικὸς τῆς οἰκονομίας λόγος οὐ συνεχώρησε[8] πεσεῖν ὑπὸ τὴν Ἡρώδου κακίαν τὸν ἔξαρχον τῆς εὐαγγελικῆς ὑπάρχοντα χάριτος[9], ἀλλὰ τὴν μὲν τῶν Ἰουδαίων ὑπεκδῦναι σκαιότητα, τὴν
Fol. 62, v°. δὲ τῶν ἐθνῶν φατρίαν συναγαγεῖν. Ὅθεν οὐδ' αἴτιος τιμωρίας ἐφάνη τοῖς φύλαξιν· ἐπεὶ μηδὲ ἔλαφος φυγοῦσα τῶν λίνων τὰς σ̣ταλίδας[10] ἔπεισε τὸν ποιμένα φονεύειν τοὺς σκύλακας. Εἶτα μανεὶς ὁ Ἡρώδης φονεύει τοὺς σ̣τρατιώτας· οἰκείαν ποιεῖ τοῦτο λύτ̣αν ἀπομιμούμενος, οὐκ ἀπὸ τοῦ Πέτρου λαβὼν ἀγριότητα· ἐπεὶ μηδὲ λέων ὑπό[11] τινος ἐγερθεὶς θυμὸν ἐξ αὐτοῦ λαμβάνει καὶ ταραχήν, φυσικὸν ἔχων τῆς ὁρμῆς τὸ φρύαγμα.

[1] In marg. περὶ τῶν κατὰ τὴν εἱρκτήν pr. manus. — [2] καθηκεύων vox corrupta, hic et p. 125, l. 13. F. καθυπείκων vel πιθηκεύων eodem sensu quo πιθηκίζω apud Aristophanem (*Vesp.* 1290). — [3] In textu α·/. φω; in ext. marg. ἀψόφῳ pr. manus. — [4] Glossema non recipiendum. — [5] Comp. σημείωσαι. — [6] ἐξέμπεπψεν. — [7] ἀοίδημον. — [8] συνεχώρησαι. — [9] χάριτος in ext. marg. pr. manus. — [10] τοὺς σκαλίκας. — [11] ἀπὸ.

Πάντα γοῦν ἔργῳ καὶ λόγῳ τοῦ λυσιτελοῦς χάριν Πέτρος ἐνεργῶν εὑρίσκεται πανταχοῦ· κἂν μετὰ [τῶν] ἐθνῶν πρὸ τῆς συντυχίας[1] τῶν Ἰουδαίων ἤσθιε καὶ μετὰ τὴν συντυχίαν τρώγειν ἀπεσ|ρέφετο, οὐ δι' ἑαυτὸν τοῦτο ποιῶν φαίνεται, ἀλλὰ διὰ τοὺς σωζομένους ἔκ τε τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν ὁμοίως. Ἐπειδὴ γὰρ τὸν νόμον ἐτίμων Ἰουδαῖοι καί τινων ἀπείχοντο σιτίων καί τινων μετελάμβανον, σπουδὴ[2] δὲ τῷ Πέτρῳ τὸ πᾶν ἔθνος εἰς τὴν εὐαγγελικὴν εἰσελάσαι δωρεὰν, οἰκονομικώτερον[3] τῶν Μωσαϊκῶν νόμων[4] ἐτίμα τέως τὸ πρόσ|αγμα, ἵνα γνόντες οἱ Ἰουδαῖοι τὰς ἐντολὰς τοῦ νόμου τὸν Πέτρον φυλάτ|οντα καὶ φιλοῦντα τὸν Μωσῆν καὶ τὸ γράμμα δοξάζοντα ἐμβῶσιν εὐκαίρως εἰς τὴν εὐαγγελικὴν τῆς κλήσεως δωρεὰν, γνόντες ὡς Πέτρος τὸν Χρισ|τὸν κηρύτ|ων καὶ τὸν νόμον φυλάτ|ων τὸν νόμον οὐ σφάλλεται, φρονίμῳ λογισμῷ δοκιμάσας ἑκάτερον. Εἰ γὰρ ἓν ἐτίμα καὶ τὸ ἓν ἐμυσάτ|ετο[5] καὶ τὸ Εὐαγγέλιον
Fol. 63, r°. σεμνύνων τὸν νόμον ἀπεσ|ρέφετο, αὐτόθεν ὡς πολέμιον Μωσαϊκῆς ἐντολῆς εἰκότως ἐβδελύξαντο.

Διό μοι δοκεῖ Πέτρον, ἵνα μὴ τοῦτο γένηται, σ|ρατηγικῇ[6] γνώμῃ τέως ἐν τῇ ἀρχῇ τοῦ σωτηρίου κηρύγματος ὑπ' ὄψιν Ἰουδαίων τὴν τῶν ἐθνῶν μὴ προσίεσθαι τράπεζαν, ἵνα μὴ ξενισθῶσιν οἱ Ἰουδαῖοι ταῦτα γνόντες κἀκ μόνης τῆς θέας σκανδαλιζόμενοι φεύξωνται[7] τῆς εὐαγγελικῆς διδασκαλίας τὸν λόγον καὶ τὸν Πέτρον ταῖς διαβολαῖς πανταχοῦ κατακρούσωσιν, ὡς ἀποσ|άτην αὐτὸν προγονικῆς παραγγελίας ἐκτόπως θρυλλήσαντες[8]. Ὅθεν τὸ βέλτιον σκοπήσας ὁ Πέτρος τοῦθ' ἁρμόδιον καὶ λυσιτελὲς ἔκρινε τὸ γράμμα Μωσέως μετὰ τῶν Ἰουδαίων ἐν πρώτοις ἀποδέξασθαι, ἵνα τούτους ἐν τῇ ἀρχῇ διὰ τοῦ σέβειν τὸν νόμον συναγάγῃ, εἶθ' οὕτω κατὰ βραχὺ συνεθίσας μόνῳ πείσῃ σ|οιχεῖν τῷ εὐαγγελικῷ κανόνι [καὶ] πολιτεύεσθαι, σαββάτου καὶ περιτομῆς καὶ σιτίων ἀπαλλάξας Μωσαϊκῶν· καὶ τοῦτ' ἦν εἰκότως τοῦ Πέτρου τὸ φρόνημα, τὸ κωλύον[9] παρόντων Ἰουδαίων ἐσθίειν[10] μετὰ τῶν ἐθνῶν. [Ἀλλ' ἵνα μὴ] ἀποτραχύνοι τὸ ἦθος ὡς τὴν παρ' αὐτοῖς δίαιταν ἐκτρεπόμενος[11], συνήσθιεν ἀπόντων Ἰουδαίων καὶ συνῆν καὶ τούτους τρόπον τινὰ διὰ τῆς τραπέζης πείθων τὴν εὐαγγελικὴν χάριν καταδέχεσθαι. Ἑκατέρῳ γοῦν τάγματι ὤφθη λυσιτελὴς, καὶ τοὺς μὲν ἐν τῷ συζῆν φίλους ἐποίησε καὶ πρόσφυγας τοῦ Χρισ|οῦ, τοὺς δ' ἐν τῷ τιμᾶν κοινωνοὺς τῆς εὐαγγελικῆς εἰργάσατο χάριτος. Παῦλος οὖν οὐ
Fol. 63, v°. τοὺς περὶ τὸν Πέτρον ψευδαποσ|όλους θρυλλεῖ[12], ἀλλὰ τοὺς ὑπὸ Ἰουδαίων ἀνὰ

[1] In textu συμμαχίας punctis infra positis; in ext. marg. συντυχίας pr. manus. — [2] σπουδῇ. — [3] οἰκονομηκώτερον. — [4] νόμων add. in ext. marg. pr. manus. — [5] ἐμισάτ|ετο. — [6] σ|ρατιγικῇ. — [7] φεύξονται. — [8] θρηλλύσαντες. — [9] κωλύειν. — [10] ἐσθίει. — [11] ἐσθίει μετὰ τῶν ἐθνῶν ἀποτραχύνειν τὸ ἦθος· ὡς τὴν παρ' αὐτῷ δίαιταν ἐκτρεπόμενος. — [12] θρήλλει.

τὴν οἰκουμένην ἐκπεμπομένους τοὺς τὰ ἐγκύκλια γράμματα περιφέροντας, οὓς ἐξαποστέλλοντες σπόλους ἐκάλουν. Καὶ περὶ μὲν τοῦ Πέτρου πολὺς ὁ κατάλογος, ἄλις δέ σοι τὰ λεχθέντα καὶ τοῖς συγκαθημένοις· ἑτέρων δ' εἴ που ζητημάτων τῆς καινῆς διαθήκης ὑφιζάνει κεφάλαιον, μὴ μελλήσας [1] ἀπάγγειλον.

[1] μελήσας.

CAPUT XXX.

Quæstio de circumcisione Timothei. (Act. xvi, 3.)

Ὁ δὲ σύννους[1] ἐπ' ὀλίγον γενόμενος καὶ σεμνός· « Μάλα μοι δοκεῖς, ἔφη, τοὺς ἀπείρους μιμεῖσθαι τῶν ναυκλήρων, οἳ τὸν προκείμενον αὐτοῖς πλοῦν ἔτι νηχόμενοι ἕτερον πέλαγος νήχεσθαι περιβλέπονται, οὕτω δῆτα καὶ σὺ, ἔτι τῶν ἐν χεροῖν μὴ συμπληρώσας ζητημάτων τὰ καίρια[2], ἕτερά σοι ζητεῖς παρ' ἡμῶν ὁρισθῆναι κεφάλαια. »

Ἕλλην[3]. Εἴ γε οὖν τεθάρρηκας ἐν τοῖς ἐρωτήμασι καὶ τρανά σοι γέγονε τὰ
[a] I Cor. ix, 19. τῶν ἀπορουμένων, φράσον ἡμῖν πῶς ὁ Παῦλος « [a]Ἐλεύθερος γὰρ ὢν » λέγει[4]
« πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα πάντας κερδήσω; » πῶς δὲ καὶ τὴν περιτομὴν
λέγων κατατομὴν αὐτὸς ἐν Λύστροις περιτέμνει τινὰ Τιμόθεον, ὡς αἱ Πράξεις
[b] Cf. Act. xvi, 3. τῶν Ἀποστόλων διδάσκουσιν[b]; Εὖ γε τῆς ὄντως ὧδε βλακείας τῶν ῥημάτων·
τοιοῦτον ὀκρίβαντα, γελοίου μηχανήματα, αἱ τῶν θεάτρων σκηναὶ ζωγρά-
φουσι· τοιοῦτον θαυματοποιῶν ὄντως τὸ παραπάλλιον. Πῶς γὰρ ἐλεύθερος ὁ
παρὰ πᾶσι δουλούμενος[5]; πῶς δὲ πάντας κερδαίνει ὁ πάντας καθηκεύων[6]. Εἰ
Fol. 64, r°. γὰρ τοῖς ἀνόμοις ἄνομος, ὡς αὐτὸς λέγει, καὶ τοῖς Ἰουδαίοις Ἰουδαῖος καὶ τοῖς
πᾶσιν ὁμοίως συνήρχετο, ὄντως πολυτρόπου κακίας ἀνδράποδον καὶ τῆς ἐλευ-
θερίας ξένον καὶ ἀλλότριον, ὄντως ἀλλοτρίων κακῶν ὑπουργὸς καὶ διάκονος καὶ
ζηλωτὴς πραγμάτων ἀσέμνων ἐπίσημος ὁ τῇ κακίᾳ τῶν ἀνόμων συνδιατρίβων
ἑκάστοτε καὶ τὰς πράξεις αὐτῶν ἰδιοποιούμενος. Οὐκ ἔνι ταῦτα ψυχῆς ὑγιαι-
νούσης τὰ δόγματα, οὐκ ἔνι λογισμῶν ἐλευθέρων ἀφήγησις· ὑποπύρου[7] δὲ τὰς
φρένας καὶ τὸν λογισμὸν ἀρρωστοῦντος ἡ τῶν λόγων ὑπόθεσις. Εἰ γὰρ ἀνό-
μοις συζῇ καὶ τὸν ἰουδαϊσμὸν[8] ἐγγράφως ἀσμενίζει[9], ἑκατέρου μετέχων, ἑκα-
τέρῳ συμπέφυρται, συναναμιγνύμενος καὶ συναπογραφόμενος τῶν οὐκ ἀστείων
τὰ πλαίσματα· ὁ γὰρ τὴν περιτομὴν οὕτω παραγραφόμενος, ὡς ἐπαρᾶσθαι
τοὺς ταύτην ἐπιτελεῖν θέλοντας, καὶ περιτεμὼν αὐτὸς ἑαυτοῦ βαρύτατος ὑπάρ-
χει κατήγορος, λέγων· « Εἰ ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην
ἐμαυτὸν συνίστημι. »

[1] σύνους. — [2] Prior lectio τὰ ζητημάτων τὰ καίρια, priore τὰ linea transfixo. — [3] Codex in ext. marg. Ἕλλην. — [4] λέγει uncis inclusa. — [5] δουλόμενος. — [6] καθηκεύων vid. supra p. 122, l. 2. F. πιθηκεύων vel πᾶσι καθυπείκων. — [7] ὑποπήρου. — [8] ἰουδασμὸν. — [9] ἀσμενίζοι.

CAPUT XXXI.

Quæstio de dicto : Et dicit : Ego sum vir Iudæus, natus in Tarso Ciliciæ, nutritus autem in ista civitate, secus pedes Gamaliel eruditus juxta veritatem paternæ legis (Act. xxii, 3) et de dicto : Accedens autem tribunus, dixit illi : Dic mihi si tu Romanus es? At ille dixit : Etiam. (Act. ibid. 27.)

Ὁ δ' αὐτὸς οὗτος ἡμῖν ὁ πολὺς ἐν τῷ λέγειν ὥσπερ τῶν οἰκείων λόγων ἐπιλαθόμενός φησι τῷ χιλιάρχῳ οὐχὶ Ἰουδαῖον αὐτὸν ἀλλὰ Ῥωμαῖον εἶναι, πρὸ τούτου φάς· « Ἐγὼ ἀνὴρ Ἰουδαῖός εἰμι, ἐν Ταρσῷ τῆς Κιλικίας γενόμενος, ἀνατεθραμμένος δὲ παρὰ τοὺς πόδας Γαμαλιὴλ, πεπαιδευμένος κατ' ἀκρίβειαν τοῦ πατρῴου νόμου · » ὁ γοῦν εἰπών· Ἐγώ εἰμι Ἰουδαῖος, καὶ Ἐγώ εἰμι Ῥωμαῖος, οὐδ' ἑκάτερόν ἐσ|ιν, ἑκατέρῳ προσκείμενος[1]· ὁ γὰρ ὑποκρινόμενος καὶ
Fol. 64. v°. λέγων ὅπερ οὐκ ἦν, δόλῳ τὰς ὑποθέσεις τῶν ἔργων πραγματεύεται, καὶ προσωπεῖον ἁπάτης περιβαλὼν ἑαυτῷ φενακίζει[2] τὸ σαφὲς, καὶ κλέπ|ει τὴν ἀλήθειαν, ἀλληνάλλως[3] πολιορκῶν τῆς ψυχῆς τὸ φρόνημα, τέχνῃ γοητείας τοὺς εὐχερεῖς δουλούμενος. Ὁ δὲ τοιαύτην ἐν βίῳ γνώμην ἀσπασάμενος οὐδὲν ἀσπόνδου πολεμίου καὶ πικροῦ διενήνοχεν, ὃς τῶν ὑπερορίων τὰς γνώμας ὑποκριθεὶς πάντας αἰχμαλωτίζει ἀπανθρώπως δουλούμενος. Εἰ γοῦν Παῦλος ὑποκρινόμενος πῇ μὲν Ἰουδαῖος, πῇ δὲ Ῥωμαῖός ἐσ|ι, πῇ μὲν ἄνομος, πῇ δὲ Ἕλλην, ὅταν ἐθέλῃ ἑκάσ|ου πράγματος ὀθνεῖος καὶ πολέμιος, ἕκασ|ον ὑπεισελθὼν, ἕκασ|ον ἠχρείωκε, θωπείαις ἑκάσ|ου κλέπ|ων τὴν προαίρεσιν. Ψεύσ|ης οὖν
[a] Rom. ix. 1. καὶ τοῦ ψεύδους ἐκ τοῦ φανεροῦ σύντροφος· καὶ περιτὸν τὸ λέγειν· « [a]Ἀλήθειαν λέγω ἐν Χρισ|ῷ, οὐ ψεύδομαι. » Ὁ γὰρ πρώην τὸν νόμον καὶ τήμερον τὸ Εὐαγγέλιον σχηματιζόμενος, ἐνδίκως ὁ τοιοῦτος κἂν βίῳ κἂν πολιτείᾳ κακοῦργος καὶ ὕπουλος.

[1] προκείμενος. — [2] φαιναπίζει. — [3] ἀλληνάλως.

CAPUT XXXII.

Quæstio de dicto : Quis militat suis stipendiis unquam? (1 Cor. IX, 7.)

Ὅτι δὲ κενοδοξίας ἕνεκεν τὸ Εὐαγγέλιον καὶ πλεονεξίας τὸν νόμον ὑποκρίνεται, δῆλος ἀφ' ὧν λέγει· « Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς ποιμαίνει[1] ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; » καὶ ταῦτα θέλων κρατῦναι, τὸν νόμον τῆς πλεονεξίας λαμβάνει συνήγορον φάς· « [a]Ἢ καὶ ὁ νόμος ταῦτα οὐ λέγει; ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· οὐ φιμώσεις[2] βοῦν ἀλοῶντα[3]· » εἶτ' ἐπισυνάπλει τὸν λόγον ἀσαφῆ καὶ μεσῖὸν φλυαρίας, τῶν ἀλόγων τὴν θείαν ἀποτέμνων πρόνοιαν, φάσκων· « [b]Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ ἢ δι' ἡμᾶς λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη. » Δοκεῖ δέ μοι ταῦτα λέγων ἱκανῶς ἐνυβρίζειν τῇ σοφίᾳ τοῦ κτίσαντος ὡς οὐ προνοουμένῃ τῶν γενομένων πάλαι. Εἰ γὰρ περὶ τῶν βοῶν οὐ μέλει τῷ Θεῷ, τί καὶ γέγραπται· « [c]Πάντα ὑπέταξας πρόβατα καὶ βόας καὶ κτήνη καὶ πετεινὰ καὶ τοὺς ἰχθύας. » Εἰ γὰρ ἰχθύων λόγον ποιεῖται, πολλῷ μᾶλλον βοῶν ἀροτήρων καὶ καματηρῶν. Ὅθεν ἄγαμαι τὸν οὕτω φένακα, τὸν ἁπλησίας ἕνεκεν καὶ τοῦ λαβεῖν ἱκανὸν τῶν ὑπηκόων ἔρανον, οὕτω τὸν νόμον σεμνῶς περιέποντα.

[a] I Cor. IX, 9. Fol. 65, r°.

[b] I Cor. IX, 10.

[c] Cf. Psalm. VIII, 8, 9.

[1] ποιμένη. — [2] φημώσεις. — [3] ἀλλοῶντα.

CAPUT XXXIII.

Quæstio de dicto : Debitor est universæ legis faciendæ. (Gal. v, 3.)

Εἶθ' ὑποσ|ρέψας αἰφνίδιον[1] ὡς ὀνειροπλὴξ ἀφ' ὕπνου τινὸς ἀναπηδήσας φάσκει· « Μαρτύρομαι ἐγὼ Παῦλος ὅτι ἐάν τις ἓν ϖοιήσῃ τοῦ νόμου, ὀφειλέτης ἐσ|ὶν ὅλον τὸν νόμον ϖοιῆσαι· » ἀντὶ τοῦ ὅλως οὐ χρὴ τοῖς λεγομένοις ὑπὸ τοῦ νόμου ϖροσέχειν· ὁ βέλτισ|ος οὗτος, ὁ Φρενήρης, ὁ συνετὸς, ὁ κατὰ ἀκρίβειαν τοῦ ϖατρῴου νόμου ϖεπαιδευμένος, ὁ τοσαυτάκις Μωσέως δεξιῶς μεμνημένος, ὥσπερ ἐν οἴνῳ καὶ μέθῃ διαβραχεὶς, ἀναιρεῖ δογματίζων τοῦ νόμου τὸ ϖρόσ|αγμα, λέγων Γαλάταις· « [a]Τίς ὑμᾶς ἐβάσκανεν[2] τῇ ἀληθείᾳ μὴ[3] ϖείθεσθαι » τουτέσ|ι τῷ Εὐαγγελίῳ; εἶτα δεινοποιῶν καὶ Φρικτὸν ἐργαζόμενός τινα τῷ νόμῳ ϖείθεσθαι λέγει· « [b]Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσίν. » Ὁ γράφων Ῥωμαίοις ὅτι « [c]Ὁ νόμος ϖνευματικός ἐσ|ι » καὶ αὖθις « [d]Ὁ νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία » τοὺς ϖειθομένους τῷ ἁγίῳ ὑπὸ κατάραν τίθησιν· εἶτα Φύρων ἄνω καὶ κάτω τὴν Φύσιν τοῦ ϖράγματος συγχέει τὸ ϖᾶν καὶ ζοΦερὸν ἐργάζεται, ὡς σκοτοδινιάσαι μικροῦ δεῖν τὸν ἀκούοντα καὶ καθάπερ ἐν νυκτὶ ϖροσαράτ|ειν ἑκατέροις τῷ τε νόμῳ ϖροσπ|αίειν καὶ τῷ Εὐαγγελίῳ ϖροσκρούειν τῇ συγχύσει[4] διὰ τὴν τοῦ χειραγωγοῦντος[5] ἀμαθίαν.

[1] Gal. III, 1. Fol. 65, v°. [a] Gal. III, 10. [b] Rom. VII, 14. [c] Rom. VII, 12. [d]

[1] *αἰφνίδιον* in ext. marg. — [2] *ἐβάσκηνεν.* — [3] *μὴ* supra lineam add. sec. manus. — [4] *συγχήσει.* — [5] *χειραγογοῦντος.*

CAPUT XXXIV.

Quæstio de dicto : Lex autem subintravit ut abundaret delictum. (Rom. v, 20.)

Ἴδε γὰρ, ἴδε τοῦ σόφου τὴν ἀφήγησιν· μετὰ μυρίας φωνὰς, ἃς ἐκ τοῦ νόμου πρὸς σύναρσιν ἔλαβε, καὶ τῶν οἰκείων ῥημάτων τὴν ψῆφον ἠκύρωσε[1] λέγων· « Νόμος γὰρ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα » καὶ πρὸ τούτων·
[a] I Cor. xv, 56. « [a] Τὸ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος, » μονονουχὶ καθάπερ μάχαιραν[2] τὴν οἰκείαν ἀπακονήσας γλῶτταν ἀφειδῶς μελῳδὸν τεμαχίζει[3] τὸν νόμον ὁ πείθεσθαι τῷ νόμῳ πολλαχῶς προτρεπόμενος καὶ τὸ ζῆν κατ' αὐτὸν λέγων ἐπαινετόν. Ὥσπερ δὲ ἐκ συνηθείας ταύτην ἀναλαβὼν τὴν ἀπαίδευτον γνώμην, τὰς οἰκείας πανταχοῦ ψήφους καταβέβληκεν.

[1] ἐκύρωσε. — [2] μάχαιραν καθάπερ. — [3] τεμμαχίζει.

CAPUT XXXV.

Quæstio de dicto : Nolo autem vos socios fieri dæmoniorum. (I Cor. x, 20.)

Ἀμέλει τὴν βρῶσιν τῶν ἱεροθύτων ἀπαγορεύων πάλιν ἀδιαφορεῖν περὶ
Fol. 66, r°. τούτων διδάσκει, λέγων μὴ δεῖν πολυπραγμονεῖν μηδ' ἐξετάζειν, ἀλλ' ἐσθίειν
κἂν ἱερόθυτα ᾖ, μόνον ἐάν τις μὴ προείπῃ· ἐν οἷς ἱστόρηται λέγων· « Ἃ θύουσι,
δαιμονίοις θύουσιν· οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. »
Ταῦτα λέγων καὶ γράφων, πάλιν ἀδιαφόρως περὶ τῆς βρώσεως γράφει λέγων· 5
[a] I Cor. VIII, 4. « [a]Οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ καὶ οὐδεὶς Θεὸς εἰ μὴ εἷς· » καὶ μετ'
[b] I Cor. VIII, 8. ὀλίγα· « [b]Βρῶμα ἡμᾶς[1] οὐ παρστήσει τῷ Θεῷ, οὔτε ἐὰν φάγωμεν περισσεύο-
μεν[2] οὔτε ἐὰν οὐ φάγωμεν ὑστερούμεθα· » εἶτα[3] μετὰ τοσαύτην τερθρείας[4]
[c] I Cor. x, 25, 26. ἀδολεσχίαν ὥσπερ ἐν κλίνῃ κείμενος ἀνεμηρυκήσατο[5] φάς· « [c]Πᾶν τὸ ἐν μα-
κέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· τοῦ Κυ- 10
ρίου γὰρ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς· » ὦ σκηνῆς παίγνιον πρὸς μηδενὸς
εὑρεθέν! ὦ φωνῆς ἀλλόκοτον ῥῆμα καὶ ἀσύμφωνον! ὦ λόγος αὐτὸς ἑαυτὸν τῇ
μαχαίρᾳ χειρούμενος! ὦ καινοτέρα τοξεία κατὰ τοῦ βάλλοντος ἐρχομένη καὶ
πίπτουσα!

[1] ὑμᾶς. — [2] περισεύομεν. — [3] εἶτα in ext. marg. pr. manus. — [4] τερθρίας. — [5] ἀπεμπρυκήσατο.

CAPUT XXXVI.

Quæstio de dicto : In novissimis temporibus quidam discedent a fide. (I Tim. IV, 1.)

Ὅμοιον τούτοις ἐν ταῖς ἐπισ⸗ολαῖς αὐτοῦ ῥῆμά τι εὕρομεν, ἔνθα τὴν πα-
ρθενίαν ἐπαινῶν, μεταβαλλόμενος αὖθις, γράφει· « Ἐν ὑσ⸗έροις καιροῖς ἀποσ⸗ή-
σονταί τινες τῆς πίσ⸗εως, προσέχοντες πνεύμασι πλάνης, κωλύοντες γαμεῖν,
[a] I Cor. VII, 25. ἀπέχεσθαι βρωμάτων· » καὶ ἐν τῇ πρὸς Κορινθίους δὲ ἐπισ⸗ολῇ, λέγει· « [a] Περὶ
δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω. » Οὐκοῦν ὁ παρθενεύων οὐ καλῶς
ποιεῖ, οὐδ' ὁ γάμων ἀπεχόμενος πονηροῦ τινος ὑφηγήσει πειθόμενος, μὴ
Fol. 66, v°. ἔχοντες πρόσ⸗αγμα περὶ παρθενίας τοῦ Ἰησοῦ· καὶ πῶς τινες παρθενεύουσαι
ὡς μέγα τι κομπάζουσι καὶ λέγουσι Πνεύματος ἁγίου πεπληρῶσθαι ὁμοίως
τῇ τεξαμένῃ τὸν Ἰησοῦν; Ἀλλ' ἡμεῖς ἔτι λέγειν κατὰ τοῦ Παύλου παυσόμεθα,
γνόντες αὐτὸν καθ' ἑαυτοῦ τοιαύτην γιγαντομαχίαν λόγων καθοπλίσαντα· εἰ
δ' ἀποκριθῆναί σοί τις περιουσία πρὸς ταῦτα καθέσ⸗ηκε, μηδὲν ἀναβαλλόμε-
νος ἀπόκριναι.

CAPUT XXXVII.

Solutio de circumcisione Timothei. (Act. xvi, 3.)

Χρισ*τ*ιανός[1].

Τοσοῦτον τοῦ λογάδος ἐσμὸν ὑποθέσεων κατὰ Παύλου δονήσαντος καὶ τὸ τῶν κεφαλαίων πλῆθος καθάπερ μελίσσας τέως ἡσυχαζούσας, κατεπαΐξασας ὄχλῳ πολλῷ[2], ἡμεῖς οἷα κέντροις τοῖς ἀπορουμένοις ἐν κύκλῳ πλητ*τ*όμενοι, ἀνάγκη πάσῃ[3] πρὸς ἕκασ*τ*ον σ*τ*άντες ἐμαχόμεθα φάντες· Οὐ δίκαιον ποιεῖς[4] τηλικοῦτον ἄνδρα, λάμποντα τῷ τῆς εὐσεβείας ἀγῶνι καὶ καμάτῳ, κατασκώπτων[5] οὕτως καὶ νόμῳ διαβολῆς κατακόπλων[6] ἀφειδῶς, εἰ τῷ τῆς οἰκονομίας λόγῳ καὶ φρονήματι συνερχόμενος τοῖς ἐλατ*τ*ώμασι τῶν ἄρτι δεχομένων τὸν λόγον τῆς πίσ*τ*εως εἰς τὴν οἰκείαν τῆς ἀρετῆς ἀνῆγε διάθεσιν, ὁπότε καὶ διδάσκαλος ὁμοίως καὶ ἰατρὸς ἦ καὶ σ*τ*ρατηγὸς ἀνὴρ εὑρίσκεται τοιαύτῃ κεχρημένος διαγωγῇ. Καὶ διδάσκαλος μὲν συμψελλίζων τῷ μαθητῇ τῷ ψελλισ*τ*ῇ, χάριν τοῦ βελτίονος ψελλισ*τ*ὴς γενόμενος, εἰς ἄκραν ἀνάγει παίδευσιν τὸν ἀκούοντα, συγκακοπαθῶν καὶ συνεκπονῶν τῆς ὠφελείας ἕνεκα· εἰ μὴ γὰρ τοῦτο πράξειεν,
Fol. 67, r°. εἰς βελτίωσιν οὐκ ἄγει τὸ ἦθος τοῦ μείρακος. Ἰατρὸς δ' ἔσ*τ*ιν ὅτε οὐ μόνον τοῖς κάμνουσιν ἁρμόζον βοήθημα κεραννύει καὶ φάρμακον, ἀλλὰ καὶ συνανακλίνεται καὶ συνεσθίει πολλάκις καὶ κοινωνὸς τῆς ἀσθενούσης ἕξεως καὶ μέτοχος γίνεται, ἵνα συμμίξας τῷ κακουμένῳ καὶ συσσι*τ*ηθεὶς[7] αὐτῷ, παντὶ τρόπῳ νικήσας τὸ λυποῦν τοῦ νοσήματος, εἰς τὴν ὁμοίαν αὐτῷ ῥῶσιν ἀγάγῃ[8] τὸ ἄρρωσ*τ*ον. Σ*τ*ρατηγὸς δὲ συνέσει καὶ ῥώμῃ σ*τ*ρατηγῶν τῷ βασιλεῖ μυρίοις βαρβάρων μαχόμενος ἔθνεσιν, ἵνα τοὺς πάντας ὑπὸ τὸ σκῆπ*τ*ρον ἀγάγῃ τοῦ δεσπότου, τὰ τῶν βαρβάρων φιλεῖ καὶ ἀσπάζεται, πῇ μὲν χαίρων διαίτῃ καὶ τραπέζῃ βαρβαρικῇ, πῇ δ' ἀσπαζόμενος αὐτῶν τὰ ἔθη καὶ τὰ νόμιμα[9], πῇ δ' ἀμπεχόνας ἃς φοροῦσιν οὐκ ἀποσ*τ*ρεφόμενος, πῇ δ' εἷς ἐξ αὐτῶν γινόμενος καὶ πρά*τ*των ἅπερ ὁ βασιλικὸς οὐκ ἐπιτρέπει νόμος, καὶ ἁπαξαπλῶς τὸν τῶν βαρβάρων τρόπον μιμησάμενος, τέλος ἀγωγίμους αὐτοὺς προσάγει[10] τῷ βασιλεῖ, πλῆθος ἀνάριθμον τέχνῃ χειρωσάμενος· εἰ μὴ γὰρ ταῦτα ὁ σ*τ*ρατηγὸς ἐν τοῖς ἀνυποτάκτοις ἔθνεσι διαπράξοιτο, εἰκῇ φιλονεικεῖ, ξίφει θέλων μυρίας χειρώσασθαι φάλαγγας. Τὸν αὐτὸν δὴ τρόπον κατὰ τὸ παράδειγμα, Παῦλος

[1] Χρισ*τ*ιανός in ext. marg. pr. manus. — [2] Turbatus locus videtur in codice καθάπερ μελίσσας τέως ἡσυχαζούσας τὸ τῶν κεφαλαίων πλῆθος κατεπαΐσας λόγῳ πολλῳ. — [3] ἀνάγκη πᾶσα. — [4] ποιεῖν. — [5] κατασκόπλειν. — [6] κατακόπλειν. — [7] συσσιτιθεὶς. — [8] ἀγάγει. — [9] νόμημα. — [10] προσάγη.

μυρία τῶν ἀνθρώπων ἤθη συνάξαι βουλόμενος καὶ μίαν ὥσπερ τάξιν ἐκ διαφόρων ἐθῶν καὶ νομίμων ἐργάσασθαι, πάντα τοῖς πᾶσι γιγνόμενος ὠφελεῖ· οὐκ αὐτὸς τὴν πρᾶξιν τῶν πολλῶν ἀγάμενος, ἀλλὰ τὴν ἐκ τοῦ πράγματος
Fol. 67, v°. λυσιτέλειαν εἰδὼς τοῖς πᾶσι συνήρχετο, πῇ μὲν ὡς διδάσκαλος τῇ μαθητείᾳ τῶν ἐθνῶν συγκαταμιγνύμενος καὶτὸς ἐν αὐτοῖς ἀπομένων, ἀλλ' αὐτοὺς διὰ τῆς κοινωνίας ἀνάγων πρὸς ἑαυτὸν καὶ τῆς οἰκείας αὐτοῖς μεταδιδοὺς ἀρετῆς, πῇ δ' ὡς ἰατρὸς τοῖς ἀνακειμένοις ἐν νόσῳ τῆς ἀπάτης, τοῖς πυρέτλουσιν ὀξείᾳ
* Cf. II. Cor. προσβολῇ τῆς κακίας συναλγῶν καὶ συνδιακείμενος λέγων· « [*]Τίς ἀσθενεῖ κἀγὼ
xi, 29. οὐκ ἀσθενῶ τῷ πόνῳ πυρούμενος; » πῇ δ' ὡς στρατηγὸς στρατηγικώτερον τὰς τῶν ἀνθρώπων γνώμας καταδουλούμενος[1] ἐκ τοῦ τὰς προαιρέσεις αὐτῶν τῇ συμπαθείᾳ μαλάττειν καὶ τὴν πολιτείαν αὐτῶν ὑποδύεσθαι τῷ[2] δοκεῖν ἐν μόνῳ τῷ σχήματι, τῷ μὲν ἀνόμῳ γινόμενος ἄνομος, μὴ ὢν ἄνομος, ὡς ὁ διδάσκαλος τῷ ψελλίζοντι ψελλιστὴς[3], μὴ ὢν ψελλιστὴς, ἵνα τῆς κοινῆς τοῦ ἀνόμου τραπέζης μεταλαβὼν τῆς ἐννόμου τὸν ἄνομον κοινωνὸν ἐργάσηται τραπέζης νομοθετῶν. Οὕτω μετὰ τῶν Ἰουδαίων μὴ Φρονῶν ἰουδαϊκῶς, ὡς ἰατρὸς τῷ νοσοῦντι συννοσῶν, μὴ ὢν νοσηρὸς[4] ἀλλ' ὑγιὴς καὶ ῥώσιμος, ὅπως νόσον ἰάσηται· οὕτω τὴν περιτομὴν διὰ τὸ κατόρθωμα τῶν Ἰουδαίων οὐκ ἀθετεῖ, ὡς στρατηγὸς διὰ τὴν νίκην τὰ τῶν ὀθνείων ἀπομιμούμενος ἦθη, ἵνα τὸ καλὸν, οὐ τὴν περιτομὴν, ἀλλὰ τὴν ἐκ περιτομῆς πρόφασιν τοῦ καλοῦ, κυρώσειε πανταχοῦ, ἵνα τῷ νόμῳ κοινωνήσας[5] ἐν μέρει ὅλον τὸν νόμον ὑποτάξῃ τῇ χάριτι, ἵν' εἴξας ἑνὶ μωσαϊκῷ προστάγματι ὅλον κατακλείσῃ τῷ Εὐαγγελίῳ τὸ Μωσαϊκὸν νόμιμον, ἵνα τῶν κακούργων ἐκ συγκαταθέσεως ὑποκλέψας τὸ Φρόνημα τὴν γνώμην
Fol. 68, r°. αὐτῶν εἰς τὴν οἰκείαν σπουδὴν συνελάσειεν.

Ἔστι γοῦν καὶ παρὰ τοῖς σοφοῖς τῶν ἰατρῶν ὅμοιον τούτῳ καταλαβεῖν Φρόνημα, οἱ τὰ βλάπτοντα τῶν Φαρμάκων πίνειν ἀπαγορεύοντες, ταὐτὰ πάλιν ἑτέροις ἔστιν ὅτε συμπλέξαντες εἴδεσιν, τοῖς ὀχλουμένοις ἐν πάθει καὶ δεινῶς δυσχεραίνουσι πίνειν παρακελεύονται, ἵν' ἡ συμπλοκὴ τοῦ διαβεβλημένου Φαρμάκου δοθεῖσα τῷ κάμνοντι τὴν ἀφανῆ τῆς ἀρρωστίας κακίαν νικήσειε· καὶ ταῦτα πράττοντες οὐ τὴν οἰκείαν ἐπιστήμην συγχέουσιν, ἀλλ' ἐκ τῶν ἀπηγορευμένων τὸ κρεῖττον ἐργάζονται. Οὕτω Παῦλος τὴν περιτομὴν εἰδὼς ἐπιζήμιον, ταύτην οὐ διδάσκει οὔτε παραδίδωσιν· ἐν καιρῷ δὲ, τῶν Ἰουδαίων κακουμένων σφοδρότερον, ταύτην τοῖς Εὐαγγελικοῖς ἐγκαταμίξας δόγμασιν, προσάγει τοῖς ἀπανθρώπως πεπιεσμένοις, δι' ἑαυτοῦ ἰασάμενος τὴν ἐμφωλεύουσαν[6] τοῖς Ἰουδαίοις νόσον. Καὶ ταῦτα μὲν οὕτω σοι πιθανῶς εἰρημένα.

[1] καταδουλόμενος. — [2] τὸ. — [3] ψελός τις. — [4] νοσηλὸς. — [5] κοινωνίσας. — [6] ἐμφολεύουσαν.

CAPUT XXXVIII.

Solutio de dicto : Et dicit : Ego sum vir Iudæus, et de dicto : Accedens autem tribunus dixit illi : Dic mihi si Romanus es? At ille dixit : Etiam. (Act. xxii, 3 et 27.)

Κἀκεῖνο δὲ λεκτέον ἤδη τὸ δοκοῦν ἐκ τῶν λέξεων ταράττειν τὴν ἀκοήν, τίνος ἕνεκεν Ῥωμαῖον αὐτὸν Ἰουδαῖος τὸ γένος ὢν ἀπαγγέλλει[1]. Τὴν δ' αὐτὴν δέ σοι τοῦ στρατηγοῦ καὶ τὰ νῦν εἰκόνα ποιήσομαι ἐπὶ τῷ τηλαυγῆ τὴν ἀποστολικὴν ἀγχίνοιαν φανῆναι. Διὰ γὰρ κεφαλαίων τὰ πολλὰ θεωρήματα καὶ μάλιστα τῶν ἀπόρων ἐκ παραθέσεως εἰκόνων σπουδαίως λαμβάνει[2] ἀκριβῆ καὶ τρανὴν τὴν σαφήνειαν, καὶ μάλιστ' ὅταν ἐπίμαχον, μᾶλλον δ' αὐτῷ μαχόμενον ὑπάρχῃ τὸ λεγόμενον.

Fol. 68, r°. Ἀμέλει Παῦλος ὑπὸ τῶν Ἰουδαίων ἐπιβουλευόμενος, καὶ ζημιοῦσθαι θανάτῳ μέλλων ἀπαραιτήτῳ, ὅσον οὐδέπω τοῦ θείου μέλλοντος σχολάζειν κηρύγματος (τοῦτο γὰρ ἔσπευδεν ἡ ψυχοφθόρος ἐργάσασθαι κακία, ζημιῶσαι μὲν τὰ γένη τῶν ἀνθρώπων τῆς χάριτος, Παύλῳ δὲ μὴ συγχωρῆσαι δραμεῖν τὸ καθολικὸν τῆς εὐσεβείας στάδιον, μηδὲ στεφθῆναι τῷ καμάτῳ τῆς ἀρετῆς, ἀλλ' ἑκατέροις ζημίαν λυπηρὰν ἀπεργάσασθαι καὶ φθόνῳ τὰ καλὰ συσκιάσαι τοῦ κρείττονος), τοῦτο γοῦν ὅπως ἡ βασκανία μὴ πράξῃ τοῦ δαίμονος μηδὲ τῶν κακούργων αἱ γνῶμαι κρατήσωσι μηδὲ τοῦ καλοῦ συμπέσῃ κατόρθωμα, λόγῳ στρατηγικῷ τῶν δεινῶν περιγίνεται, ἀσπάζεται[3] τὸ γένος τὸ τοῦ γένους πολέμιον καὶ φεύγει τὸ συγγενὲς ὑπ' αὐτοῦ διωκόμενος· ὃν[4] γὰρ Ἰουδαῖοι ὡς ἐχθρὸν ἐμυσάττοντο[5], πατρῴας αὐτὸν εὐκλείας ἀποξενῶσαι θέλοντες, τοῦτον ὡς ἀντίπαλον εὑρόντες ἠτιήθησαν. Πρῶτον γοῦν τὴν εἰς αὐτὸν ἀδικίαν γυμνώσαντες, δεύτερον παρ' αὐτοῦ γυμνωθέντες ἠλέγχθησαν[6], συνέσει τρωθέντες καὶ σοφίας ὑπερβολῇ. Ὡς γὰρ στρατηγὸς ὑπὸ τῶν ὁμοφύλων γενόμενος ἔκδοτος, προσφυγὼν οἷς ἐδόθη, δυνασεύει τῶν συγγενῶν, οὕτω Παῦλος ὑπὸ τῶν Ἰουδαίων τοῖς Ῥωμαίοις παραδοθεὶς καὶ εἰπὼν «Ῥωμαῖός εἰμι,» τοὺς Ἰουδαίους ἐνίκησεν· ἐχρῆν γάρ, ἐχρῆν ἐν ἡγεμονίας ἐξουσίᾳ ῥωμαϊκῆς, τῆς σωτηρίας διακονοῦντα τὸν λόγον Ῥωμαῖον ὄντως εἶναι, ῥώμῃ Πνεύματος ἁγίου καλῶς ἀρισεύοντα· οὐκ ἐψεύδετο
Fol. 69, r°. οὖν Ῥωμαῖον ἑαυτὸν ὀνομάσας, ἔθνους διδάσκαλος ῥωμαϊκοῦ γενόμενος. Ὡς γὰρ ὁ τῆς[7] τῶν Γαλατῶν ἐκχωρήσας ἐσίας καὶ τὴν Ἀσίαν οἰκῶν καὶ νεμόμενος[8]

[1] ἀπαγγέλλη — [2] λαμβάνειν. — [3] ἀρνεῖται. — [4] οὗ. — [5] In ext. marg. ἐμισάττοντο. — [6] ἠλέχθησαν. — [7] ὁ τῶν τὴν; τῶν deletum. — [8] νεμώμενος.

Ἀσιανὸς καλεῖται, κἂν τὸ γένος ἄνωθεν Γαλάτης[1] γνωρίζηται, οὕτω Παῦλος, καὶ εἴ τις Παύλῳ παραπλήσιος, ἐν σκηπίρῳ καὶ χώρᾳ Ῥωμαίων ἀναπατῶν, Ῥωμαῖος ἀναμφιβόλως, κἂν Ἰουδαῖος, ἐστίν· οὐ σφάλλεται κικλήσκων[2] ἑαυτὸν Ἰουδαῖον, οὐδ' ἁμαρτάνει πάλιν ἀποκαλῶν Ῥωμαῖον· τῶν μὲν γὰρ συγγενὴς περιτομῇ τῆς σαρκός, τῶν δ' οἰκεῖος τῷ δόγματι τοῦ Θείου κηρύγματος. Καὶ ὅπου μὲν ζημιοῦται, ἀρνεῖται τῆς ζημίας τὸν λόγον, ὁλοτελῶς φεύγων τὴν αἰτίαν, ἐξ ἧς βλάπλεται τὴν ψυχήν· ὅπου δὲ κέρδος φαιδρὸν ἐν δόγματι λάμποντι, τούτῳ προσφεύγει καὶ τὸ γένος ἀσπάζεται. Ὅταν γοῦν Ἰουδαῖον ἑαυτὸν ὀνομάζῃ νόμῳ σωματικῷ, τιμᾷ τὸ ὁμόφυλον· ὅτε δὲ Ῥωμαῖον λόγῳ τῆς τάξεως, βοᾷ τὴν εὐγένειαν.

[1] Γαλάτις. — [2] κικλίσκων.

CAPUT XXXIX.

Solutio de dicto : Quis militat suis stipendiis unquam? (I Cor. IX, 7.)

Τούτων ὧδε λεχθέντων[1], φέρε τὴν ἑπομένην ἐκλύσωμεν πρότασιν τὴν περὶ τοῦ « Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; καὶ τίς ποιμαίνει[2] ποίμνην, καὶ τοῦ γάλακτος οὐκ ἐσθίει; » Οὐ γὰρ δεόμενος ἐξ ἀνθρώπων λαβεῖν ἀκροθίνια, ταύτην τοῖς Κορινθίοις τὴν γνώμην ἐπέστειλεν, ἀλλ' εὐχάριστον εἶναι διὰ τούτων τὸ ἦθος τῶν μαθητῶν βουλόμενος στρατιωτικῆς εὐλόγως τάξεως ἐμνημόνευσεν. Ὡς γὰρ ὁ στρατιώτης[3] γνησίως κάμνων καὶ πονῶν τῷ βασιλεῖ δημοσίοις ὄψοις οἷς δίδωσι τὸ ὑπήκοον ἐκτρέφεται, ἐπὰν δὲ μὴ σίτῳ τράφηται[4]
Fol. 69, v°. βασιλικῶς, ἀλλ' οἴκοθεν τὴν σιταρκίαν ἔχων στρατεύηται, ἐπιβουλεύει μὲν ῥᾷον τὴν ἀκαθοσίωτον γνώμην ἀναδεχόμενος, λυμαίνεται δὲ πᾶσιν ἀφειδῶς ληϊζόμενος· οὕτως ὁ κῆρυξ εὐαγγελικοῦ καμάτου γενόμενος τότε φιλεῖ τὸν κόπον καὶ τὸν ἀγῶνα τιμᾷ, ὅταν οἱ διδασκόμενοι διὰ τῶν σωματικῶν κοινωνῶσι τοῖς ἀσωμάτοις τοῦ λόγου χαρίσμασιν, ὅταν σπουδαίως ἑαυτοὺς ἐπιδιδῶσι τοῖς εὐαγγελικοῖς νόμοις ἐν ἀγάπῃ. Οὕτω γὰρ ἡ προθυμία τῶν ἐν λόγῳ καμνόντων λαμβάνει τὴν προκοπὴν, ὅταν συστρατευομένην καί συνεπιμοχθοῦσαν τῶν ὠφελουμένων ἴδῃ[5] τὴν προαίρεσιν, ὅταν οἱ ποιμαινόμενοι[6] τῷ λόγῳ τῆς παιδείας δίκην θρεμμάτων ἀγαθῶν βαθὺν μὲν τῆς εὐποιΐας τὸν πόκον βασλάζωσιν, ἀπείρους δὲ τῆς ἀνδραγαθίας τοὺς κρουνοὺς ἐν γάλακτι καὶ πλουσίως προχέωσιν, ὥστε τὸν ποιμαντικὸν τούτων μεταλαμβάνοντα λόγον ἐπευφραίνεσθαι, καὶ μᾶλλον ἐπακμάζειν τῇ διδαχῇ τῶν καλῶν, ὅταν ἡ μαθητεία εἰς ἔργον εὐσεβείας ἱκανὸν προχωρήσασα πλουτίσῃ[7] τοῦ διδάσκοντος τῆς προθυμίας τὴν σπουδήν.

Ἐθέλων γοῦν ἐκεῖνος ὁ θεηγόρος ἀνὴρ προκόπτειν ταῖς εὐποΐαις τοὺς οἰκείους μαθητὰς καὶ τῆς πολιτείας ἐπάξιον ποιῆσαι τοῦ λόγου τὸν κάματον, ποιεῖ τὴν μὲν διδαχὴν παραπλησίαν σπόρῳ, τοὺς δὲ διδασκομένους ἐφαμίλλους εὐγείῳ καὶ πολυφόρῳ χώρᾳ, ἵν' ὁ μὲν διδάσκαλος οἷα γεωργὸς ἀπὸ τῆς χώρας τῶν ἀκουόντων[8] τραφῇ, οἱ δὲ μανθάνοντες δίκην χώρας ἀγαθῆς πλούσιον παρέχωσι τῆς πίστεως γέννημα[9], τὸ τῆς θεογνωσίας σπέρμα δεξάμενοι·
Fol. 70, r°. ἐπεὶ λυπηρὸν καὶ συμφορᾶς ἄξιον πρᾶγμα καὶ ἀνιαρὸν, φυτηκόμον μὲν δρε-

[1] In ext. marg. Περὶ τοῦ Τίς στρατεύεται. — [2] ποιμένει. — [3] στρατιότης. — [4] σιτοτραφῆτε. — [5] ἤδη. — [6] ποιμενόμενοι. — [7] πλουτήσῃ. — [8] In ext. marg. ἀκουόντων. — [9] γένημα.

πάνῃ καθαίρειν τὸ βλάσθημα, καιρῷ δὲ τῆς ἀκμῆς μὴ προσάγειν τὴν ἄμπελον ἐν ὥρᾳ τοὺς βότρυας, ἀλλ' ἀμαλδύνειν τὰς ἐλπίδας τοῦ κάμνοντος. Ὅθεν ὁ Ἀπόσθολος, ἵν' ὠφελήσῃ πολλὰ τοὺς ἀκούοντας, Θαυμασίου πίνακος εἰκόνας ὑπέθετο στρατηγοῦ καὶ ποιμένος, φυτηκόμου καὶ γεωργοῦ· καὶ πρὸς σύστασιν τούτων τὸν νόμον ἐκάλεσεν ὀχυρὸν, ἐξ αὐτοῦ ποιῶν τὸ μαρτύριον. Οὐ δὴ οὖν πλεονεξίας ἕνεκεν, ὡς αὐτὸς ἐτόπασας, δόγματα ζητεῖ καὶ δωρεὰς καὶ τιμὰς, ἀλλ' ἵνα εὐχαρίστους αὐτοὺς ποιῇ καὶ εὐγνώμονας, ἐπειδὴ καὶ τὸ Θεῖον ἀπαρχὰς ἔστιν ὅτε καὶ δωρεὰς ἀπαιτεῖ, οὐ λειπόμενόν τινος, ἀλλ' οὐδὲ[1] δεόμενον (ἅπασαν γὰρ ἔχει περιουσίαν πλούτου ἔν τε τοῖς ὁρωμένοις καὶ ἀοράτοις κτίσμασιν), ἀλλὰ βουλόμενον πλουτίζειν τοὺς εὐχαρίστους ἐν χάριτι καὶ τὰ μικρὰ μεγάλοις τοῖς ἀγαθοῖς ἀμείβεσθαι ἀπαιτεῖ δασμὸν καὶ φόρους εἰσπράττεται. Ἱκανὸν δέ σοι καὶ τοῦτο τῆς ἀποκρίσεως τὸ ῥῆμα.

[1] οὔτε.

CAPUT XL.

Solutio de dicto : Debitor est universæ legis faciendæ. (Gal. v, 3.)

Λοιπὸν ἐκεῖνο συντόμως ἴδωμεν τὸ κεφάλαιον, ἔνθα φησίν· « Ἐάν τις ἓν ποιήσῃ τοῦ νόμου, ὀφειλέτης ἐστὶν ὅλον ποιῆσαι τὸν νόμον, ἢ οὐ τὸν νόμον ψέγων, ἀλλ' οὐδὲ κακολογῶν, ἀλλὰ τοῦ νόμου σοι λέγει τὴν πολλὴν ἀκρίβειαν
Fol. 70, v°. καὶ τὸ δυσκατόρθωτον, ὅπερ ὁ Χριστὸς ἐλθὼν ἀνεπλήρωσεν ἐλευθερώσας πολλοῦ καμάτου τὸν ἄνθρωπον. Εἰ γοῦν τὸ πληρωθὲν ὑπὸ τοῦ Μονογενοῦς ὡς ἀπλήρωτόν τις ἐπιτελεῖν ἐθέλοι, τὸ πλήρωμα τοῦ Χριστοῦ ὡς λεῖπον[1] δεχόμενος, ἀναγκαίως ὁ τοῦ Εὐαγγελίου τὴν χάριν [μὴ λαβὼν] καὶ τῷ νόμῳ δουλούμενος ὀφείλει τὸ πᾶν τῶν δεσποτικῶν ἐπιταγμάτων ἐκτελέσαι τὸ νόμιμον. Ὅθεν μετὰ τοῦ Σωτῆρος ἴσως τινὰ κονιζόμενον τοῦ μόνου τὸν νόμον ὑπὲρ πάντα πληρώσαντος καὶ τὸ πλῆθος τῶν ἐντολῶν ὅλων περιγράψαντος, ἱκανῶς στίζει καὶ παίει δημοσίως μονονουχὶ λέγων· « Πῶς τολμᾷς, ἄνθρωπε, τὸ πληρωθὲν ἐξ ὑπαρχῆς τελεῖν ὡς ἀπλήρωτον, εἰς ὕβριν τοῦ Χριστοῦ τοῦτο πραγματευόμενος; Εἰ γὰρ τὰ τοῦ νόμου πράττειν ἐθέλεις καὶ σὺ τοῦ πράγματος ποιεῖν τὸ διάταγμα, κατηγορεῖς τοῦ Χριστοῦ ὡς μὴ[2] πληρώσαντος αὐτοῦ τὸν νόμον καὶ τοὺς προφήτας· φρικτὸν ἐπιτηδεύεις, ἄνθρωπε, καὶ νεώτερον τὸ πεπληρωμένον θεσπεσίῳ κανόνι ὡς ἀπλήρωτον τοῦτο συλῶν καὶ ἀτέκμαρτον· κέκλεισται τῶν πόνων καὶ τῶν δρόμων τὸ στάδιον, ἑνὸς δραμόντος ὑπὲρ ὅλων καὶ τὸ βραβεῖον λαβόντος, καὶ σὺ πάλιν ἀνοίγεις καὶ τρέχειν ἐπιτάττεις τοῖς ἀδυνατοῦσι τὴν νύσσαν καταλαβεῖν· τοῦτο δ' ἐπιτηδεύων ἐν παρακοπῇ λογισμῶν, ὀφειλέτης εἶ ὅλον τὸν νόμον τελέσαι. Ὁ γὰρ πρὸ ἑκατὸν κειμένην ἀκρόπολιν παρασάγγων ἀκούων καὶ ποθῶν εἰς αὐτὴν ἀπελθεῖν ἱππηλάτης[3], οὐδὲν ὤνησε δραμὼν ἐνενήκοντα καὶ πέντε παρασάγγας καὶ τοὺς πέντε μὴ δραμών· ὡσαύ-
Fol. 71, r° τως γὰρ ἔξω τῆς πόλεως ἔμεινε πρὸ τοῦ τὸν δρόμον ἀσπάσασθαι. Καὶ πάλιν ὁμοίως ὁ Φυλάττων ἐν συνοχῇ πολεμίων μεγάλην πόλιν, τριάκοντα πέντε πύλας ὠχυρωμένας ἔχουσαν, οὐδὲν ὠφέλησε τὰς τέσσαρας πρὸς ταῖς τριάκοντα πύλαις ἀσφαλισάμενος καὶ μίαν ἐκ λήθης ἐάσας ἠνοιγμένην· εἰσελθὼν γὰρ δι' αὐτῆς ἔξωθεν ὁ πολέμιος ὁμοίαν εἰργάσατο τῇ πόλει κατασπροφήν, ἣν εἶχε ποιῆσαι διὰ πασῶν εἰσελθών· οὕτως ὁ μυρίας ἐντολὰς συμπληρώσας τοῦ νό-

[1] λοῖπον. — [2] ὀσμὴ. — [3] ἱππήλατος.

μου, μίαν δὲ ἐάσας ἐντολὴν ἀπλήρωτον, δι' αὐτῆς καὶ τὰς ἄλλας ὡς μὴ ϖοιήσας ἐλέγχεται. Ὅθεν οὐδεὶς οἷός τέ ϖοτε ϖληρῶσαι τὸν νόμον. Φέρε γὰρ ἴδωμεν μὴ τὸ ϖλῆθος τῶν ἐνταλμάτων ὧν ἐνομοθέτησεν, ἀλλὰ δύο μόνων ϖροσταγμάτων φυλακὴν, εἰ δυνατὸν ἀνθρώπῳ ταύτην ἀποϖληρῶσαι <δηλαδὴ,> σαββάτου φημὶ καὶ ϖεριτομῆς. Οἷον σαββάτῳ τινὸς ἐγγεννήθη τὸ βρέφος· ὁ νόμος τῇ ὀγδόῃ ϖροστάτλει τοῦτο ϖεριτέμνειν· ὁ αὐτὸς τὸ σάββατον κελεύει μὴ βεβηλοῦν. Τί γοῦν ϖράξειεν [ἂν] ἄνθρωϖος; ϖεριτεμεῖ τὸ βρέφος; ἀλλ' οὐ ϖληροῖ[1] τὸ σάββατον· σαββατίσει μὴ ϖεριτεμών; ἀλλὰ τὴν ϖεριτομὴν ἐκδίκως[2] ἠκύρωσε· καὶ ϖοιῶν ἑκάτερον, ἑκάτερον ἀθετεῖ, μᾶλλον δὲ ϖληρῶν τὸ ἓν ὑϖὸ τοῦ ἑτέρου ϖαραβάτης ἐλέγχεται.

Εἰ γοῦν δύο μόνων ἐντολῶν ϖληρῶσαι τὸ ϖρόσταγμα φορτικὸν ἀνθρώϖῳ καὶ βαρὺ καὶ ἐϖίϖονον, ϖῶς οἷόν τε ϖληρῶσαι τὸν ϖάντα νόμον τινά; Οὐδ'
Fol. 71, v°. οὗς ἀνθρώϖειον ἐϖαρκεῖ τὸ ϖλῆθος ἐϖακοῦσαι, οὐχ ὅτι τοῦτο τοῖς ἔργοις ἐκτελέσαι, οὐδ' ἀϖομνημονεῦσαι δυνατὸν ἀνθρώϖῳ τοῦ νόμου τὸ διάταγμα, ϖολλοῦ γε τοῦτο κατορθῶσαι ϖράγματι. Νιφάσι γὰρ ἀνηρίθμοις ἔοικε τὰ λεγόμενα, ϖῇ μὲν μόσχων ἐϖάλληλα καὶ συνεχῆ θύματα, κριοὶ καθημερινοὶ, οἱ μὲν εἰς ἑσϖέραν, οἱ δὲ εἰς ἕω θυόμενοι· ϖῇ δ' ὀρνέων ϖλῆθος καὶ τοῦτο διάφορον ἔν τε ϖερισϖεραῖς καὶ τρυγόσι καὶ ἀλεκτοριδέσι[3], καὶ τὰ μὲν ὑϖὲρ λεϖρῶν, τὰ δὲ ὑϖὲρ τικτουσῶν, τὰ δ' ὑϖὲρ ἀγνείας[4], ϖῇ δ' ἀϖαρχαὶ καὶ δεκάται καὶ ζύμης ἀφαιρέσεις, ἔννυσϖρα καὶ λοβοὶ καὶ ὦμοι καὶ δέρματα[5]. Οὐδ' αἱ τῶν τετραϖόδων ἐϖαρκοῦσιν ἀγέλαι ϖρὸς ἀναφορὰν ἄρδην ὁλοκαυτούμεναι, οὐδὲ τῶν ὀρνίθων τὰ μυρία γένη εἰς ἓν συναγόμενα τὸν ἀϖλόμενον καθ' ἡμέραν δύνανται κορέσαι βωμόν. Ἐκεῖθεν συνεχεῖς ῥαντισμοὶ καὶ βαϖτίσματα, ἐξ ἐννυϖνίου τις ἀνασϖὰς ἐβαϖτίζετο, ἐκ θέας νεκροῦ ϖάλιν ἐβαϖτίζετο, ἱματίῳ τις ψαύσας ἀϖοκαθημένης εὐθὺς ἐβαϖτίζετο, γαλῆς ἢ μυγαλῆς σκεύους ἁψαμένης[6], τὸ σκεῦος συνέτριβε, λεϖροῦ ἐν οἴκῳ μείναντος[7], τὸν τοῖχον ἀϖέξεεν, ὀδίτην οἰκεῖον ἐξ ἐθνῶν ἐλθόντα δι' ἡμερῶν ἕως ἑβδομάδος ϖαντελοῦς ἀϖῴριζεν[8]· αὐτὴν τῶν ὑδάτων τὴν φύσιν ἀϖέϖλυνεν, ἐκ τοῦ συνεχῶς ἀντλεῖν καὶ μεταφέρειν τῷ ῥάγματι. Οὐ χρόνος ἐϖαρκεῖ, οὐ τόϖος, οὐ διατριβὴ τὸν νόμον ἀναγνῶναι καὶ τῶν ϖροσταγμάτων μνημονεῦσαι τὸ ϖλῆθος, σκοτοῦται καὶ νοῦς καὶ γλῶσσα
Fol. 72, r°. κάμνει καὶ λογισμὸς ἀτονεῖ, ἄσϖη καὶ ϖροάσϖεια καὶ ϖᾶσαν ἀγροικίαν δαμάσας ἐξέλυσε, γενεὰς ϖολλὰς ὁλοκλήρους ἐξενεύρωσε, φῦλον Ἰουδαίων καὶ ἔθνος ἀνήριθμον βαρήσας ἐλέϖυνε.

Τίς οὖν ἱκανὸς ὑϖαντῆσαι τούτῳ καὶ τοῦ διατάγματος βασϖάσαι τὸ ϖρόσ-

[1] ϖληρεῖ pr. manus ϖληροῖ sec. — [2] ἐνδίκως. — [3] ἀλεκτρίδεσι. — [4] ἀγνοίας. — [5] δόγματα. — [6] γαλῆν ἢ μυγαλῆν σκεύους ἁψαμένην. — [7] λεϖρὸν ἐν οἴκῳ μείναντα. — [8] ἀϖόριζεν.

ταγμα· εἷς ἐθάρσησε τὸν νόμον ὁ Κύριος Ἰησοῦς, ὃν καὶ πληρώσας αὐτὸν καὶ περιγράψας ἔπαυσε τοῦ μὴ δεῖν τινα τούτῳ λοιπὸν ὑποτάττεσθαι. Ὡς γὰρ ὁ πῆχυς μετρεῖ τὸ μῆκος καὶ τὸ πλάτος, ὁ δὲ ποιήσας αὐτὸν πληροῖ μετρησάμενος, ἑτέρῳ τοῦτον τῷ μέτρῳ παραβαλὼν[1], οὕτως ὁ νόμος μέτρον μὲν ὢν πολιτείας καὶ βίου καὶ πράξεως, μετρεῖ δὲ τοῦτον οὐδείς, ἀλλ' οὐδὲ περιγράφει· μόνος δ' ὁ τοῦτον ποιήσας καὶ θέμενος ἐπλήρωσεν αὐτὸν καὶ μετρήσας ἐσφράγισε, μέτρον μέτρῳ μείζονι μεσιώσας ἐν ἀγαπῇ Εὐαγγελίου, νόμον περιγράψας παλαιόν. Πολλὰ γοῦν μετρῶν ὁ νόμος ἐν βίῳ καὶ συμμετρῶν, εὐαγγελικῷ μέτρῳ μετρηθεὶς, πεπλήρωται· σφάλλεται γοῦν πολλὰ καὶ λίαν ἁμαρτάνει ὁ βουλόμενος πληρῶσαι ὅπερ ὁ Χριστὸς ἐπλήρωσε, λόγον ἀντιχρίστου καὶ γνώμην ἀναλαβών.»

Ταῦτ' οὖν ὁ Ἀπόστολος ὑπαγορεύων σαφῶς, ἐπιστρέφει Γαλάτας τοὺς ἐπὶ τὴν δουλείαν ἐκ τῆς ἐλευθερίας φαύλως ἀπονοστήσαντας καὶ τὸ πληρωθὲν αὖθις ἀναπληροῦν ἐθέλοντας. Οὐ ψεκτὸς οὖν ὁ Παῦλος, εἰ μαρτυρίας ἕνεκεν μνημονέυει τοῦ νόμου λέγων· «[a]Ἐν τῷ νόμῳ γέγραπται· Βοῦν ἀλοῶντα οὐ φιμώσεις·» καὶ «[b]Ὁ νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία·» ἅγιος γὰρ ὁ νόμος ὑπὸ τοῦ ἁγίου λαμβάνων περαίωσιν, καὶ βοῦς ἀκήμωτος τῶν Ἀποστόλων ὁ ὅμιλος τὸ πολὺ θέρος ἀλοῶν καὶ λεπτύνων ὅπερ ἐγεώργησεν ὁ ἐξελθὼν ἐκ τοῦ Πατρὸς ἐπὶ τῷ σπεῖραι τὴν γῆν. Ὅθεν ὁ Ἀπόστολος εἰκότως τοῦτό φησιν· «[c]Οὐ περὶ βοῶν, ἀλλὰ περὶ ἡμῶν ἐγράφη ταῦτα.»

Fol. 72, v°.

[a] I Cor. IX, 9.

[b] Rom. VII, 12.

[c] I Cor. IX, 10.

[1] καταλαβὼν.

CAPUT XLI.

Solutio de dicto : Lex autem subintravit, ut abundaret delictum. (Rom. v, 20.)

Ἀποχρώντως[1] οὖν τούτων ὧδε εἰρημένων, Θέμις καὶ πρέπον καὶ λίαν ἀκόλουθον[2] ἐκεῖνό σοι δευτερῶσαι τοῦ Ἀποστόλου τὸ ῥῆμα, τὸ περὶ τοῦ νόμου διαρρήδην θρυλλούμενον[3], ἔνθα λέγει. « Νόμος παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. » Καὶ πῶς τὸ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, καὶ πῶς ἡ δύναμις τῆς ἁμαρτίας ὁ νόμος, ἡ τῶν ἁμαρτημάτων ἐνέργεια, οὐδὲ ἂν εἴπω.

Φύσις πολλὴν ἔφερεν ἀδικίαν ἐν βίῳ, ἀμήχανον ταύτην ποτὲ λαβεῖν διόρθωσιν, μὴ νόμου δοθέντος τοῦ τὴν ἀδικίαν δικαίως κολάζοντος· ὁ γὰρ πλημμελῶν καὶ τῶν ἀνοσίων ἔργων τὴν πρᾶξιν ἐπιτελῶν ἀνεύθυνος, μὴ διαγινώσκοντος τοῦ νόμου τὰ δρώμενα, μηδὲ τῆς παραβάσεως τὴν αἰτίαν ἐλέγχοντος. Ὅθεν τοῖς ἁμαρτάνουσιν ἐλαφρὸν τὸ πλημμέλημα, ἅτε τὴν ἐπιτίμησιν τὴν ἐκ τῶν νόμων οὐκ ἔχουσιν· ἀλλ' οὐδ' ὁ τὴν ἀρετὴν ποιῶν ἦν ἀξιοφανὴς, ἐπεὶ μηδ' ὁ τὴν κακίαν πράττων ὑπεύθυνος· καὶ συνέβαινεν, οὕτω πραγμάτων φε-
Fol. 73, r°. ρομένων, τὸν τῶν ἀνθρώπων βίον δίκην σκάφους κυβερνήτην οὐκ ἔχοντος τῇ συγχύσει[4] τῶν κακῶν βύθιον καταπίνεσθαι. Ἡ γὰρ τῶν γιγνομένων ἄγνοια καὶ ἀμαθία πικρὸν χειμῶνα τῆς λήθης εἰργάζετο. Φθόνον γοῦν τις ἐπιτελῶν ἢ δρῶν μοιχείας ἄγος, παραγγελίαν οὐκ ἔχων τοῦτο μὴ πράττειν ἐν βίῳ, κορυφαίοις ὡς ἀγαθοῖς[5] ἐπετόλμα τοῖς κακοῖς, μηδενὸς τὴν φαυλότητα τῶν ἔργων κωλύοντος. Πολλοὶ γοῦν τῆς φυσικῆς παρακόψαντες εὐταξίας τὰ νόμιμα λυτλώσης κακίας ἐγίγνοντο ὑπηρέται, πολλοὶ τὴν ἔμφυτον τῆς καλοκαγαθίας φρόνησιν ἀποπλύσαντες πᾶν εἴ τι γοῦν ἀθέμιτον ἔπρατλον θρασυνόμενοι, μηδέπω τοῦ νόμου τῆς ἀνθρωπείας ἐπιτροπεύοντος ζωῆς, μηδέπω τὸν βίον τοῦ λογικοῦ κανόνος εὐτακτεῖν ἀναγκάζοντος, μηδέπω τῆς λογικῆς οὐσίας οἵης τε τὴν διάκρισιν τοῦ κρείττονος ἀναλαβεῖν, πλεονεκτουμένης ὑπὸ τῆς ἀλογίας τῶν σωματικῶν παθῶν, διὰ τὸν ἐπικείμενον γνώμης αὐτεξουσίου πεπαχυμμένον[6] θόρυβον, διὰ τὸ νηπιάζειν ταῖς φρεσὶ τὸ ὁμογενές.

Ὅτε δὲ κατὰ βραχὺ, ὥσπερ ἔκ τινος καπνοῦ κακίας, ἀνέβλεψαν καὶ καθαρὸν εἶδον σεμνότητος ἀέρα, τότε ξεναγωγὸς οἷα καὶ χειραγωγὸς ὁ νόμος ἀνεφάνη εἰς λαμπρὸν βίον ἄγων καὶ πολιηγῶν τὸν ἄνθρωπον, καὶ τὰ φαῦλα καὶ τὰ καλὰ

[1] ἀποχρόντως. — [2] In ext. marg. λουθον supplev. sec. manus. — [3] θρηλλούμενον. — [4] συγχήσει. — [5] ἀγαθὸς pr. manus; ἀγαθοῖς correx. sec. — [6] πεπαχυμένον.

δεικνύων τοῖς βλέπουσι καὶ τῶν ἀφανῶν ἔργων ἐλέγχων τὰ σφάλματα· καὶ
Fol. 73, v°. τοῖς μὲν ἀδικοῦσιν εὐτόνως ἐπέπληττε, τοῖς δικαιοπραγοῦσι δὲ τιμὴν ἐπηγ-
γέλλετο[1], τὸν δ' ἀνεύθυνον συνεχώρει ζῆν ἐν ἐλευθερίᾳ. Καὶ τοῦ μὲν πλημ-
μελοῦντος, νόμου παρόντος, πολὺ τὸ ἀδίκημα, ὡς φωτὸς αὐγάζοντος πολὺ
γυμνοῦται τὸ αἶσχος, νόμου δὲ μὴ παρόντος, οὐδὲν τοῦ πράττοντος φαῦλον
ἀδίκημα. Ὡς οὐδὲ τοῦ τοιχωρύχου τὸ πλαῖσμα κατάφωρον, λαμπηδόνος ἀπού-
σης καὶ τῆς ἀορασίας συνεργούσης τῷ πράττοντι, οὕτω τοῦ νόμου λεπταῖς
τῶν ἐντολῶν αὐγαῖς περιλάμποντος, πολὺ καὶ καταφανὲς τῶν σφαλλομένων
ἐτύγχανε τὸ πλαῖσμα καὶ πολλῆς ἐπισπροφῆς καὶ τιμωρίας δεόμενον· ἀνεξέ-
τασπον δὲ, νόμου μηδέπω φανέντος τοῦ διακωλύοντος ἐπιτελεῖν τὰ χείρισπα,
ὑπῆρχε τὸ παράπλωμα. Τί γοῦν τὸ ἐντεῦθεν ἑπόμενον; ἐφθείρετο τὸ πολίτευμα
καὶ πάθος λοιμῷ πολλῷ παραπλήσιον ἡμάλδυνε τὴν ζωὴν, καὶ τὸ κοινὸν ἐνέ-
μετο ἐπιθυμία τοῦ πράτπειν τὰ χείρονα, μηδενὸς ἄτε κωλύοντος, καὶ μῖσος τοῦ
ποιεῖν τὰ κρείττονα ἐκ τοῦ μὴ τιμωρεῖσθαι τὸν ἐναγῶς βιοτεύοντα, καὶ τοῦ
μὲν εὐσεβοῦντος οὐδεὶς ἦν λόγος ἐν ζωῇ, ἀνέγκλητον δὲ τοὔργον τοῦ πλημ-
μελοῦντος ὑπῆρχε.

Τοιαύτῃ γοῦν ἐξαίφνης ἀνωμαλίᾳ ζωῆς ἐπέστη νόμος αὐστηρὸς ὁμοῦ καὶ
ἐπίφοβος, τῶν γινομένων ἐξετασπὴς ὁμοῦ καὶ κατήγορος, καὶ διδάσκαλος ἐν
ταὐτῷ καὶ πικρότατος ἔλεγχος, καὶ τὸ μὲν γενόμενον οὐκ ἐκάθαρεν ἔγκλημα,
ἐμεγάλυνε δ' αὐτὸ καὶ φορτικὸν εἰργάζετο ἀπαραίτητον κατ' αὐτοῦ τῆς τιμω-
Fol. 74, r°. ρίας χαλκεύων τὴν μάχαιραν, καὶ κολάζων τὸ πραχθὲν τὸ μελλὸν ἐκώλυεν. Οὐ
μὴν συμπάσχων τοὺς ἁλόντας ᾤκτειρεν, ἐπεὶ μηδ' αὐθεντὴς μηδὲ δεσπότης ὁ
νόμος, ἐπίτροπος δὲ καὶ λειτουργὸς δεσποτικοῦ θελήματος· ἐπλεόναζε γοῦν,
τοῦ νόμου παρόντος, εὐλόγως τὸ παράπλωμα ἐκ τοῦ μὴ συγχωρεῖσθαι μετὰ
τὸ πλημμέλημα ζῆν τὸν ἁμαρτήσαντα, ἀλλ' οἰκτιρμῶν δίχα καὶ συμπαθείας
κολάζεσθαι· καὶ συνέβαινε θανάτου κέντρον ἢ θανατικὸν κέντρον εἶναι τὴν
ἁμαρτίαν κεντοῦσαν ὥστε μὴ ζῆν μηδ' ὑπάρχειν τὸν ἄνθρωπον, διὰ γε[2] τοῦ
νόμου ταύτην λαβοῦσαν τὴν δύναμιν τοῦ κωλύοντος μὲν ἁμαρτάνειν, ἁμαρ-
τόντα δ' ἐξ ἀποφάσεως αὐτόθεν κολάζοντος.

Διὸ πάνυ καιρίως καὶ σοφῶς ὁ Ἀπόστολος τὴν μὲν ἁμαρτίαν κέντρον λέγει
εἶναι τοῦ θανάτου, ἄνευ δὲ τοῦ νόμου ταύτην μηδὲν ἰσχύειν ὅλως. Ὥσπερ γὰρ
τὸ κέντρον ξίφος μὲν τυγχάνει τὸν ὑπ' αὐτοῦ κεντούμενον ἀνελεῖν δυνάμενον,
ἄνευ δὲ τοῦ κατέχοντος ἢ καὶ κρατοῦντος αὐτὸ ἔστι μὲν ὄργανον θανάτου,
ἐνεργεῖν δὲ οὐκ ἰσχύει, οὕτως ἡ ἁμαρτία τῇ ψυχῇ κέντρον ὑπῆρχε θανάτου·

[1] ἐπιγέλλετο. — [2] διὰ δὲ.

ἴσχυε δ' ὅλως οὐδέν, μηδέπω ταύτην τοῦ νόμου τρόπον τινὰ κρατήσαντος καὶ γνώσει ψηλαφήσαντος. Ἵν' οὖν τῆς ἁμαρτίας τὴν βλάβην ἐκφύγωμεν καὶ τοῦ παρέχοντος αὐτῇ νόμου τὴν ἰσχὺν ἐκκλίνωμεν, συμβουλεύει μὴ τῷ νόμῳ, ἀλλὰ τῷ δεσπότῃ τοῦ νόμου προσφεύγειν καὶ σώζεσθαι. Εἰ γὰρ ἡ ἁμαρτία ἰσχυρὰ
Fol. 74, v°. διὰ τοῦ νόμου, ἰσχυρότερος ὁ τὸν δεσπότην τοῦ νόμου λαβὼν πρὸς βοήθειαν· ὡς ἡ ἁμαρτία [διὰ] τοῦ νόμου τὴν ψυχὴν δυνασ|τεύσασα δίχα πάσης ἀναβολῆς καὶ συμπαθείας ἀπέκτεινεν, οὕτως ἄνθρωπος διὰ τοῦ Χρισ|τοῦ, ὅσ|τις ἦν νόμου δεσπότης ὀφθεὶς ἐπικρατέστερος, τὴν ἁμαρτίαν ἀνάλωσε. Μὴ γοῦν ὑπολάβῃς ὡς τὸν νόμον ὁ Παῦλος, ζῆν τινα κωλύων κατ' αὐτὸν, ἀνῄρηκεν, ἐπεὶ μηδέ τις ἀποσπάσας παιδαγωγοῦ μαθητὴν, καὶ τοῦτον[1] διδασκάλῳ συνάψας εἰς μάθησιν, τοῦ παιδαγωγοῦ τὸν πόνον ἠκύρωσεν, ἀλλὰ μᾶλλον ἐσέμνυνεν, ὅτι δι' αὐτοῦ τὸ κρεῖ|τ|ον ὁ μανθάνων ἐκτήσατο· οὕτω Παῦλος παιδαγωγὸν τὸν νόμον ἀνθρώποις τοῖς δέουσί ποτε χρόνοις γενόμενον, ὠφελήσαντα τὸ κοινὸν καὶ τὴν φύσιν παιδεύσαντα, Χρισ|τοῦ παρόντος ἐπὶ τῷ βελτιῶσαι καὶ κρείτ|τονος ἀξιῶσαι παιδείας τὸν ἄνθρωπον, πρεπόντως σχολάζειν καὶ μηκέτ' ἐπιτάτ|ειν λέγει τοῖς γένεσιν. Ὡς γὰρ σελήνη σὺν ἄσ|τροις ἐν νυκτὶ χρησιμεύουσα οὐδὲ πάμπαν ἀπελαύνει τὴν ἐπικειμένην τῆς σκιᾶς ἀηδίαν οὔτε τέλεον συγχωρεῖ τὸν σκότον παχύνεσθαι, ἀλλ' ἀμαυρότερον μὲν τὸν ἀέρα καθίσ|τησι, μετρίοις δὲ τοῦτον ἐκπραΰνει φωτίσμασιν, ἡλίου δ' ἐξαίφνης θερμαῖς ἀκτίνων βολαῖς ἐπικύψαντος, σχολάζει μὲν αὐτὴ[2] καὶ πᾶς ἀσ|τέριος ἀποκρύπ|τεται πόλος, ἐπιτηδείως τοὺς ἐν νυκτὶ παραμυθησάμενος· οὐ μὴν ἀναιροῦνται καὶ τὸν τῆς ὑπάρξεως λόγον ἀπολλύουσιν, ἀλλὰ μένουσι παραχωροῦντες ἡλίῳ τῆς ἡμέρας
Fol. 75, r°. τὸ κράτος, καὶ οὐδεὶς πλωτὴρ, οὐκ ἔμπορος, οὐχ ὁδίτης ἐν νυκτὶ πρὸς ἐργασίαν ἀσ|τρῴῳ καὶ σεληνιαίῳ φέγγει χρησάμενος, ἡλίου παρόντος, ἐκείνην λοιπὸν ζητεῖ τὴν αὐγὴν πρὸς συνεργίαν, ἀλλ' ὁρῶν ἄπλησ|τον ἡλίου λαμπηδόνα πυρσεύουσαν, αὐτῇ μόνῃ χαίρει καὶ τὴν πρᾶξιν ἀσπάζεται· οὕτως ἡ παλαιὰ τοῦ νόμου διαθήκη δίκην σελήνης μετὰ τῶν Προφητῶν ὡς ἀσ|τέρων ἔφαινε τῷ βίῳ παραμυθουμένη τὴν ἀνθρωπίνην ζωὴν σκυθρωπάζουσαν ἐν ἀγνοίᾳ καὶ πολλῇ κατηφείᾳ, ὅτε δ' ὁ παμφαὴς ἐπέφανεν ἥλιος ὁ Χρισ|τὸς τοῦ Θεοῦ τὸ δωδεκάκτινον τῶν Ἀποσ|τόλων σ|τέφος περικείμενος, τότε καὶ νόμος ἐσίγησε καὶ Προφῆται σχολάζουσι καὶ μόνη πράτ|ει τὰ πάντα συμπληροῦσα τοῦ Σωτῆρος ἡ χάρις· καὶ δεῖ ταύτῃ μόνῃ σ|τοιχεῖν καὶ τὰ παλαιὰ μὴ ζητεῖν πρὸς ἀντίληψιν ἀρετῆς· μένει γὰρ ἐκεῖνα λοιπὸν ἀνενέργητα καὶ τὴν φύσιν ἔχει τῶν ἔργων σχολάζουσαν. Καὶ τὸ μεμνῆσθαι μὲν αὐτῶν ὡς ἀγαθῶν καὶ καλῶν

[1] τῷ pr. manus; τοῦτον sec. — [2] αὐτῇ pr. manus, αὐτὴ sec.

καὶ θέμις καὶ πρέπον καὶ λίαν ἀκόλουθον· τὸ δὲ θέλειν ὑπὸ τὴν ἐκείνων ἡγεμονίαν εἶναι πάμπαν ἀβέβαιον καὶ πάμπαν ἀλόγιστον· κἂν γάρ τις θελήσῃ[1] ἐκείνοις πάλιν ἀκολουθεῖν, ἀλλ' ἐκεῖνα τὴν τοιαύτην τῆς πράξεως διακονίαν ἀρνήσεται, ἅτε τῶν οἰκείων καμάτων πεπαυμένα.

[1] θελήσει pr. manus, θελήσῃ sec.

CAPUT XLII.

Solutio de dicto: Nolo autem vos fieri socios dæmoniorum. (I Cor x, 20.)

Ἐπὶ πλεῖστον γοῦν ταύτην σοι τοῦ κεφαλαίου τὴν πεῦσιν γυμνάσαντες, λοιπὸν τὴν ἐξῆς ἐροῦμεν, εἴ σοι φίλον, πῶς ὁ Παῦλος τῶν μὲν εἰδωλοθύτων
Fol. 75, v°. ἐσθίειν ἐκώλυσε, τὸ δ' ἐν μακέλλῳ πωλούμενον λαμβάνειν οὐ κωλύει, καίπερ Ἑλλήνων ὡς ἐπὶ τὸ πλεῖστον τῶν μακελλευόντων τότε γνωριζομένων. Ὅρα γοῦν ἐντεῦθεν τοῦ σοφοῦ τὴν ἀκρίβειαν, ὡς [τὴν] δίαιταν τῆς ζωῆς ἀσφαλίζεται καὶ τῶν θυομένων τοῖς δαίμοσιν ἅπλεσθαι τοὺς εὐσεβεῖς ἐκώλυε, τῶν δ' ἐν μακέλλῳ ἀνεξετάστως πωλουμένων ἐσθίειν τοῖς γνωρίμοις ἐπέτρεπεν· ἐπειδὴ[1] πολλὴ καὶ διάφορος πανταχοῦ γῆς γινομένη τότε τῶν τετραπόδων ἡ σφαγή. Ἡ μὲν γὰρ τοῖς ἀερίοις ἐγίνετο πνεύμασιν, ἄλλη τοῖς ἐγγείοις, καὶ τοῖς καταχθονίοις ἕτερα κατεθύετο· ἡ γὰρ πλάνη λαβοῦσα τὸν ὄφιν ὑπηρέτην ἀπατηλὸν καὶ πολὺ τὸ μέλος ἐσύριζε, γῆν, θάλατταν, ἀέρα[2] καὶ τὰ καταχθόνια φθοροποιοῖς ἴυγξι κηλοῦσα[3] καὶ δαμάζουσα. Πνεύματα γοῦν ἀφανῆ [κατὰ] τὸν
[a] Cf. Isai. XXVII, 1. ἀέρα πετόμενα[4], ἃ πετομένους ὄφεις Ἡσαΐας[a] ἐθρύλλησε, πλησμῶν[5] ἁπήτει θυσίας λευκὰς καὶ διαφανεῖς, ἅτε[6] λαμπροῦ τοῦ ἀέρος καὶ πεφωτισμένου μέχρι τῆς ἐπιφανείας τῶν κάτω τυγχάνοντος· ἄλλοι δέ τινες ἐπιχθόνιοι δαίμονες τετραπόδων ἐζήτουν εἰς θυσίας[7] ἀγέλας μελαγχρόων καὶ φαιῶν, ἐπεὶ μέλαινα κατὰ φύσιν ἡ γῆ καὶ κατάσυγνος, ἐπὶ βωμῶν δ' ἐκέλευον τὰς θυσίας αὐτῶν[8] ὑψηλῶν κατασφάττεσθαι· ἄλλοι δὲ ὑποχθόνιοι ἐν βόθροις καταθύεσθαι μέλανα[9] καὶ αὐτοὶ παρεκελεύοντο θύματα καὶ συνθάπτεσθαι τῶν σφαζομένων[10] παρ' αὐτὰ τὰ λείψανα[11]· ἕτερα δ' ἐναλίων ἀπατηλὰ φάσματα θυσίας ἀπῄτει πλησμῶν μελάνων[12] ζώων, τὰ δ' ἐκέλευε κατὰ θαλάττης ἀφίεσθαι, ἐπεὶ μελαίνα καὶ κινουμένη
Fol. 76, r°. συνεχῶς ἡ θάλασσα. Οὕτως οὖν τῆς κακίας διὰ τῶν λογικῶν τὴν ἄλογον κατακοπλούσης φύσιν, τετραπόδων τε καὶ πλησμῶν οὕτω βοσκομένης τὸ πλῆθος ἐλεεινῶς, εἰκότως ὁ Ἀπόστολος ἐφάπτεσθαι τῶν τοιῶνδε τοὺς πιστοὺς ἐκώλυεν.

Ἔξεστι δέ σοι ταῦτα ἐκ Τῆς ἐκ λογίων Φιλοσοφίας[13] πιστώσασθαι, καὶ

[1] ἐπεὶ δὲ. — [2] ἀέρια pr. manus; ἀέρα sec. — [3] ἴυγξι κυλοῦσα. — [4] πετάμενα. — [5] πλησμῶν in marg. sec. manus. — [6] οὔτε. — [7] θυσίαν. — [8] αὐτῶν in marg. sec. manus. — [9] μέλαινα. — [10] σφαζομένων in marg. sec. manus. — [11] Hujus loci ἡ μὲν γὰρ τοῖς ἀερίοις — παρ' αὐτὰ τὰ λείψανα sententias potius quam ipsa verba latine convertit Turrianus, *Pro canonibus Apostolorum*, lib. I, cap. xv. — [12] μελαίνων. — [13] Periit liber a Porphyrio scriptus Περὶ τῆς ἐκ λογίων φιλοσοφίας. Fabricius, V, p. 744.

τῶν θυομένων ἀκριβῶς μαθεῖν τὴν ἀφήγησιν, ἀναγνόντι περὶ θυσίας τὸν χρησμὸν τοῦ Ἀπόλλωνος[1], ὃν ὁ Πορφύριος ὥσπερ ὀγκυλλόμενος ἐν ἀπορρήτῳ τοῖς οἰκείοις παρέδωκε, μεθ' ὅρκου φρικώδους, ὡς αὐτὸς ἐδοκίμαζε, διασελλόμενος μὴ πολλοῖς ταῦτα φράζειν ἀνέδην· ἔσται γάρ σοι καταφανὲς τῆς καινοτέρας[2] ταύτης συμφορᾶς τὸ τραγῴδημα, ὡς ἀλληνάλλως[3] τὴν τῶν ἀνθρώπων γενεὰν οἷα ποίμνην ἀποίμαντον αἱ τῶν ὀλεθρίων πνευμάτων ἐπιβουλαὶ, καθάπερ ἐξ ἐρήμου λύκων ἀγρίων ἔφοδος, ἐσπάρατλον[4] ἀφειδῶς. Οὐκ ἦν ἀναπνεῦσαι, οὐδ' ἡσυχάσαι τινὰ, ἀλλ' ὥσπερ ὑπὸ σκηπτοῦ ἢ κεραυνίου βολῆς ἀπ' ἄκρων εἰς ἄκρα τὸ πᾶν συνελαύνεσθαι· θάλατλαν ἑπέρα τις, θυσίαν ἐπέλυε[5]· κατὰ[6] γῆν ὤδευεν, ἔθυε <τὰ> τετράποδα· ἄντρον ὤρυτλεν ἢ χέρσον διέσκαπτε, θῦμα τοῖς καταχθονίοις ἔβαλλε καὶ κατέφερε· πολλοὶ δὲ καὶ τὸν οἰκεῖον θάνατον ὥσπερ ἐξωνούμενοι ἐκ τῶν ὁμοφύλων[7] ζῶντας ἔτι κατώρυτλον. Ἀμίσλρα γοῦν ἡ γυνὴ Ξέρξου τοῦ βασιλέως δὶς ἑπτὰ παῖδας ἐτησίους ὑπὲρ ἑαυτῆς ζῶντας εἰς ᾅδην ἔπεμπε καλύπτουσα χώματι, τοὺς χθονίους ἱλασκομένη δαίμονας[8]. Σκόλοπες πανταχοῦ καὶ κέντρα καὶ παγίδες τὸν κόσμον ἐπεπληρώκεσαν· οὐκ ἀὴρ, οὐ γῆ, οὐ νῆσος, οὐ θάλασσα τῶν ἐπιβουλῶν ἄκαιρος[9], ζώνη δ' ἐζώκει τὴν οἰ-
Fol. 76, v°. κουμένην ἀπάτης, ἀγνοίας ἐφήπλωτο ζοφερὸν καταπέτασμα, καὶ ζῆν εὐμαρῶς οὐκ ἦν ἐν ἀδείᾳ τὸν ἄνθρωπον· ὑποπλος ἦν ὁ βίος, ὕπουλος ἡ κατάσλασις, αὐτὸ τῆς συντυχίας τὸ πρᾶγμα τεθόλωτο.

Ἐπειδὴ γοῦν μεσίὸν ἦν ἀταξίας τοῦ κόσμου τὸ χωρίον, καὶ τὸ πλεῖσλον τῆς ζωῆς ἀνέκειτο δαίμοσι, παραγγέλλει τοῖς ἐθέλουσι βίον εὐαγέσλερον τὴν τῶν δαιμόνων μυσάτλεσθαι τράπεζαν, μή πως διὰ τῆς κοινωνίας τὸ τῆς ψυχῆς ἦθος κατὰ βραχὺ διαφθείρωσι· πάλιν δ' ἀποβλέπων ὡς ἀμήχανόν τινα συμπεπλεγμένον σαρκὶ[10] τὴν σωματικὴν ἀποτρέπεσθαι δίαιταν, οἰκονομικῶς ἐπιτρέπει καὶ συμβουλεύει σεμνῶς κοινὴν τὴν [τοῦ] μακέλλου[11] ἀγορὰν ὑπάρχουσαν περιέπειν κἀξ αὐτοῦ λαμβάνειν ὀψώνια. Ἀθορύβητον γὰρ τὸ πρᾶγμα καὶ τὸν τῆς περιεργίας[12] μῶμον οὐ κεκτημένον, ἅτε κοινῆς ὑπάρχοντας[13] καὶ δημοσίας διαίτης διακόνους τοὺς τὴν τοῦ μακέλλου πρᾶξιν ἀνειληφότας· ἱερόδουλοι δέ τινες ἀφωρισμένοι καὶ ἔκκριτοι, μυσληρίῳ τινὶ τοῖς ξοάνοις σπένδοντες[14] καὶ θύοντες μετά τινος γοητείας μυσλικῆς, ὧν ἀπέχεσθαι κελεύει καὶ μὴ προσψαύειν ὅλως[15].

[1] Ipsum Apollinis oraculum et Porphyrii præcepta de sacrificiis videas apud Eusebium, *Præpar. evang.* IV, 8 et 9. — [2] κενοτέρας. — [3] ἄλλην ἄλλος. — [4] ἐσπάρατλεν. — [5] ἐπένε. — [6] κατὰ. — [7] δὲ—ζῶντας in marg. addidit sec. manus. — [8] V. Herod. VII, cxiv. — Plutarch. *De superst.* 13. — [9] εὔκαιρος. — [10] σαρκὶ in marg. pr. manus. — [11] μακέλλιον. — [12] περιεργείας. — [13] ὑπαρχούτας pr. manus; ὑπάρχοντας sec. in marg. — [14] σπεύδοντες pr. manus; σπέν sec. in marg. — [15] Hæc quoque ἱερόδουλοι δὲ μὴ προσψαύειν ὅλως latine conversa scripto inseruit Turrianus, *Annotationes Apostol. Constit. Clementis*, p. 229, ed. Antverpiæ, 1577.

Ἀναιρεῖ δὲ καὶ τῆς ἑλληνικῆς γνώμης τὸν ἀπαίδευτον ὄρον καὶ τεμαχίζει[1]
[a] I Cor. VIII, 4. τὸ δόγμα καὶ τὴν ψῆφον ἀκυροῖ φάσκων· « [a]Οὐδὲν εἴδωλον ἐν κόσμῳ. » Ἕλληνες
γὰρ εἰδώλων ὀνομασίαν εὗρον, ὡς Θεῶν[2] ἐξεῦρεν ὀνομασίαν[3] ὁ ὄφις· ἡ δὲ γνώμη
τῆς ἀληθείας τοιαύτην ψῆφον ὅλως οὐ δογματίζει. Ἀδύνατον γοῦν ἐν κόσμῳ
σωθῆναι τοῦ εἰδώλου[4] τὸν λόγον ἢ τὸν ὅρον· ἡ γὰρ τῶν ξοάνων κατασκευὴ
εὐλόγως ξόανα, οὐ μὴν εἴδωλα λέγεται· ταῦτ' ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ χαλ-
Fol. 77, r°. κοῦ καὶ σιδήρου πλατυνόμενα μορφώματα ἀργύριον καὶ χρυσίον, οὐ μήν ἐστιν
εἴδωλα, καὶ τὰ νεκρὰ δὲ τῶν ζώων σώματα νεκρὰ σώματα, οὐκ εἴδωλα τυγχά-
νει· ψυχαὶ δ' ἀπὸ σωμάτων λυθεῖσαι ψυχαὶ δικαίως, οὐ μήν εἰσιν εἴδωλα· ἀλλὰ
καὶ τῶν λεγομένων[5] ἡρώων τὰ ἀπεικονίσματα εἰκόνες μέν εἰσιν, εἴδωλα δ' οὐχ
ὑπάρχουσι· τὰ δ' ἀπὸ τῶν χρωμάτων ἐν τοῖς πίναξι συνήθως γραφόμενα γραφὴ
σωμάτων ἐστίν, εἴδωλα δ' οὐδαμῶς· τά τε [φάσματα] λεγόμενα τῶν ὁπλασιῶν
φαντάσματα καὶ σκιαὶ τῶν ὕπνων εἰσίν, εἴδωλα δ' οὔκ ἐστιν, ὡς ἐπαληθεύειν
τὸν μέγαν Ἀπόστολον φάσκοντα· « Οὐδὲν εἴδωλον ἐν κόσμῳ. » Εἰ μή τί γέ τις
μανεὶς τὰ στοιχεῖα καλεῖν ἐθελήσειεν εἴδωλα, ἀλλ' αὐτόθεν ἐλέγχεται. Τὸ γὰρ
πῦρ τε καὶ ὕδωρ ἀήρ[6] τε καὶ γῆ οὐχ ὑπάρχουσιν εἴδωλα, ἀλλὰ πῦρ, ἀὴρ, ἔν-
δίκως γῆ, ὕδωρ. Τίνι γοῦν οἱ προύχοντες τῶν εἰδώλων θύουσι; δαιμονίοις,
οὐκ εἰδώλοις· καὶ κοινωνοὺς οὐ θέλει τῶν δαιμονίων εἶναι τοὺς κοινωνοὺς τοῦ
Χριστοῦ. Οἱ δ' ἐν μακελλείῳ[7] τὰ ὄψα πιπράσκοντες οὐ δαίμοσιν, ἀλλὰ τῇ
κοινῇ ζωῇ μαγειρεύουσι, τέλος οὐ γοητείαν ἀλλὰ κέρδος τιθέμενοι, ὅπερ οὐ
λυμαίνεται οὐδὲ φθείρει τὸν ἐσθίοντα[8]. Ἔσο καὶ ταύτην λεπτῶς τὴν ἀντιλο-
γίαν ἐκμαθὼν τῆς προτάσεως.

[1] τεμμαχίζει. — [2] Θεὸν. — [3] ὀνομίαν. — [4] εἰδόλου. — [5] λεγομένων in marg. sec. manus. — [6] γῆν, ὕδωρ, πῦρ, ἀέρα in marg. sec. manus. — [7] μακελλίῳ. — [8] αἴσθοντα.

CAPUT XLIII.

Solutio de dicto : In novissimis temporibus discedent quidam a fide. (I Tim. IV, 1.)

Ἐντεῦθεν δὲ τὴν ἑξῆς λεπτοτέρως ἐπάκουσον, ἔνθα περὶ τῆς παρθενίας
Fol. 77, v°. πολλὰ λέγων ὁ Παῦλος τέλος τοὺς ἀπεχομένους μυκτηρίζει τῶν γάμων, κεκαυμένους αὐτοὺς λέγων καὶ ἐπιζημίους καὶ τοῦ συνειδότος τὸν λόγον οὐ σώζοντας, λοιμοὺς δέ τινας ἐπ' ἐσχάτου τῶν ἡμερῶν φανέντας, καὶ[1] φθορὰν ἄπειρον τῷ κόσμῳ παρεισάγοντας. Ἐξ ὑπαρχῆς οὖν τοῦ κεφαλαίου σοι τὴν λύσιν ποιήσομαι. Εἴωθε γὰρ πολλὴν ἡ τῶν λέξεων ἔμφασις ἔχειν περιπέτειαν καὶ τὸν λόγον ἀσαφῆ ἐκ τῶν ἀντισtρόφων, ὅταν τι[2] τῶν κατὰ περιτροπὴν ἐν ταῖς ἀποστολικαῖς φωναῖς ἀναγινώσκηται. Ἔστι γὰρ ὅτε καὶ ξένοις προσχρώμενος ἤθεσιν ὁ μακάριος Παῦλος σκοτεινὸν ποιεῖ τὸν λόγον καὶ ἀσαφῆ, ὡς ὅταν
[a] Rom. IX, 18. λέγῃ· « [a]Ἄρα οὖν ὃν θέλει ἐλεεῖ καὶ ὃν θέλει σκληρύνει· » Ἀλλ' οὐ γὰρ ὁ Ἀπόστολος δοξάσας τοῦτ' ἐλάλησεν ὡς τινὰς μὲν ὑπὸ Θεοῦ ἐλεεῖσθαι, τινὰς δ' οὐκ ἐλεεῖσθαι[3] ἀλλ' ἀποσκληρύνεσθαι, ἀλλ' οὕτως εἶχε περὶ Θεοῦ, ὡς πάν-
[b] I Tim. II, 4. τας ἐλεεῖσθαι ὑπ' αὐτοῦ καὶ σώζεσθαι, λέγων· « [b]Ὃς πάντας ἀνθρώπους θέλει
[c] I Cor. VII, 25. σωθῆναι. » Καὶ ὧδε οὖν λέγων· « [c]Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος, » οὐ πάνυ δοκεῖ σαφῶς λέγειν ὃ λέγει· πῶς γὰρ[4] ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα καὶ μοχθηρὸν διδασκάλῳ ψευδομένῳ προσέχειν ἢ λέγων ἀληθῆ καὶ περὶ τῆς παρθενίας ἐν αὐτῷ Χριστὸς ἐλάλει[5] καὶ δοκεῖ δι' αἰτίαν τινὰ φάσκειν « Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι, » ἐπιταγὴν δ' οὐκ ἔχω.

Ἐπειδὴ τὸ τῆς παρθενίας δόγμα δυσκατόρθωτον ἐν βίῳ καὶ δυσπόριστον ἐπηρεαζόμενον φυσικοῖς τοῦ σώματος πάθεσι, καὶ ταχέως ὑπὸ τῶν αἰσθήσεων
Fol. 78, r°. ἐπιβουλευόμενον σύντομον ἀλώσεως λαμβάνει διαβολήν, καὶ ταχινὸν τὸ τῶν ψόγων περιβάλλεται νέφος πολέμῳ τῆς ἡδονῆς ῥᾴον καταπονουμένου, ἐπειδὴ γοῦν τῆς πρώτης μέν ἐστιν ἀρετῆς καὶ ἀσκήσεως, ἐσχάτης δὲ κακοπαθείας καὶ πόνων ἐγκρατείας τηρῆσαι παρθενίαν καὶ φυλάξαι τὸ καύχημα, λέγει· « Ἐπιταγὴν Κυρίου οὐκ ἔχω. » Πᾶν γὰρ ἐπιτάττων διὰ τοῦ Παυλοῦ Χριστὸς τοῦτ' οὐκ ἐπιτάττει, ἵνα μὴ δόξῃ ὥσπερ ἀνάγκην ἐπάγειν[6] τοῖς παρθενεύειν ἐθέλουσιν, μή ποτέ τις πεσὼν ἐν παρθενίᾳ τὸν Χριστὸν αἰτιάσηται ὡς προ-

[1] καὶ in marg. sec. manus. — [2] ἡ. — [3] ἐλεῖσθαι. — [4] γὰρ in marg. sec. manus. — [5] Hic locus πῶς γὰρ ὁ Χριστὸν ἔχων — ἐλάλει corruptus videtur. — [6] ἐπάγει.

τρεψάμενον ἢ καὶ ἀναγκάσαντα παρθενίαν ἀσπάζεσθαι. Ὅθεν δίχα τούτου πάντ' ἐπιτάττει Παῦλος Χριστὸν ἔχων λαλοῦντα· οἷον κλέπτει τις, ἐπιτάττει μὴ κλέπτειν· εὐκατόρθωτον γὰρ τοῦτο καὶ ἀκάματον ἀρκεῖσθαι τοῖς ἰδίοις καὶ τῶν ἀλλοτρίων κτημάτων ἀπέχεσθαι. Ὁμοίως ἐπιτάττει μὴ μοιχεύειν· οὐ καματηρὸν[1] γάρ τινι τὴν χρῆσιν ἐν τῇ γαμετῇ τοῦ σώματος ἔχοντι σωφρονεῖν καὶ μὴ χραίνειν[2] τὸν γάμον τοῦ πλησίον. Ἐπιτάττει πάλιν ὅλως μὴ μεθύσκεσθαι· δυνατὸν γὰρ τοῦτο δίψους ἕνεκεν αὐτάρκους μεταλαμβάνειν οἴνου καὶ μὴ πίνειν ἁπλήστως μηδὲ κωμάζειν ἀπρεπῶς μηδὲ βαρούμενον βαστακτῶς ἀποφέρεσθαι τὸν πρὸ τῆς μέθης εὐκινήτως τρέχοντα. Αὖθις ἐπιτάττει χορηγεῖν τῷ μὴ ἔχοντι τὸν ἔχοντα ἀνενδοιάστως· οὐ φορτικὸν γὰρ καὶ τοῦτο, ἀλλ' οὐδ' αὐχμηρὸν καὶ τραχύ, ἐξ ὧν τις ἔχει ὀλίγα διδόναι[3] τῷ μὴ ἔχοντι· ὁ μὲν γὰρ Φιλότιμος ὀφθεὶς ἐν εὐποΐαις πολὺς καὶ ἐνάρετος, ὁ δ' ἐν πενίᾳ καρτερῶν ἐκ τῶν πόνων σλέφεται. Ταῦτ' ἐπιτάττει καὶ τὰ τούτοις ὅμοια· ψιθυρίζειν
Fol. 78, v°. κωλύει, ἐπιτάττει μὴ ψάλλειν ἄσεμνα καὶ ἀκόλαστα, ἐπιτάττει τὴν δίαιταν, βρῶσιν, πόσιν, πρόοδον ποιεῖν εἰς δόξαν Χριστοῦ, ἐπιτάττει τῆς κακίας ἐκμοχλεύειν τὰ πάθη καὶ τὴν ἀρετὴν ἀσκήσει Θεμελιοῦν ἐρείσματι σώφρονι, λόγων ἀμούσων μελέτην ἐπιτάττει μὴ ζηλοῦν μηδ' ἀσμενίζειν θίασον ἀπαιδευσίας ποτέ, ἐπιτάττει τὴν ἄνω μονὴν πολυπραγμονεῖν.

Πάντα τοῖς πᾶσι δίχα τῆς παρθενίας τὰ σεμνὰ κατορθώματα ἐπιτάττει ποιεῖν καὶ πράττειν καὶ μελετᾶν, καὶ τὸν μὴ πειθόμενον ἔξω τῶν οὐρανίων ἐκβάλλει[4] περιβόλων, ἅτε τὰ δυνατὰ ποιεῖν μὴ καταδεξάμενον· περὶ παρθενίας δὲ ἐπιταγὴν παρὰ Κυρίου λέγει μὴ παρειληφέναι, δι' ἃς προείπομεν αἰτίας καὶ ἀφορμάς. Φειδόμενος γὰρ τῶν ἀνθρώπων ὁ Κύριος τὸ σφόδρα καματηρὸν[5] οὐκ ἐπιτάττει ποιεῖν τινι· οὐ μήν, εἴ γέ τις βούλοιτο τὴν ἄκραν ἐν βίῳ κατορθοῦν πολιτείαν, κωλύων ἀνατρέπει, ἀλλὰ συμβουλεύει καὶ τιμᾷ τὴν προαίρεσιν λέγων· « Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι ὡς ἠλεημένος. » Ὁρᾷς τοῦ σοφοῦ τὴν πολλὴν λογιότητα; ὁρᾷς παίδευσιν; ὁρᾷς ἐλευθέριον[6] σύνεσιν; ὁρᾷς τῆς εὐσεβείας προσήκουσαν ἀκριβῆ, λέγοντα[7]· « Χριστὸς [οὐκ] ἐξ ἀνάγκης οὐδ' ἐξ[8] ἐπιταγῆς τινα παρθενεύειν βούλεται, ἀλλ' ἐξ ἑκουσιότητος, οὐκ ἐκ νομοθεσίας, τοῦ γὰρ τοιούτου πράγματος μετέωρον ὄντως καὶ πρῶτον τὸ κατόρθωμα, ὑπέροπλον δὲ τῆς ἀνδρείας ἐστὶ τὸ σεμνολόγημα, ὅθεν οὐκ ἐξ ἐπιταγῆς, ἵνα μὴ δουλοπρεπὲς, ἀλλ' ἐκ προαιρέσεως[,ἵν'] ἔνδοξον καὶ λαμπρὸν ὀφθῇ καὶ ἐπίσημον. » Ὃ γοῦν τιμῆς ἕνεκεν οὐκ

[1] καματηλὸν. — [2] χαίρειν pr. manus; χραίνειν sec. in marg. — [3] διδοὺς. — [4] ἐκβάλλειν. — [5] καματηλὸν. — [6] ἐλευθέρον pr. manus; ι addidit sec. — [7] λέγων. — [8] In marg. περὶ παρθενίας.

Fol. 79, r°. ἐπιτάττει Παῦλος, ἀλλὰ τῇ προαιρέσει τὴν ἐξουσίαν τηρεῖ, τοῦτο μὴ δόξης εἶναι φαῦλον καὶ ἀβέβαιον[1], λέγων· « Εἰ παρθενεύει τις μὴ ἐπιτατλόμενος, ἔργον ἐπιτηδεύει οὐκ εὐαγὲς οὐδ' ὅσιον· » μᾶλλον γὰρ ὑπὲρ ἄνθρωπον, ὅταν πρῶτον κόσμον καλλωπίσας[2] τῆς ἀρετῆς, πλέον τοῦ δέοντος δόξῃ λαμπρύνεται. Τὸ γὰρ ἐξ ἐπιταγῆς ἐν βίῳ γιγνόμενον ἔχει μὲν ἔπαινον, οὐ μὴν ἀξιοφανῆ, ἐκ προσ- 5
ταγματος ὅταν τὸ καλόν τις ποιήσῃ[3], ([ἐκ] γὰρ τοῦ προστάγματος ἡ σπουδὴ καταφανὴς ὑπάρχει τοῦ κελεύοντος)· τὸ δὲ μὴ περιμένον τὴν γνώμην τοῦ δεσπόζοντος, ἄνευ δὲ προτροπῆς ἑκουσίως γιγνόμενον, ἀσύγκριτον τῆς δόξης λαμβάνει τὸ ἐγκώμιον.

Διὰ τοῦθ' ὁ Παῦλος ὑπερνεφὲς καὶ λίαν ὑψηλὸν τῆς παρθενίας βλέπων τὸ 10
κατόρθωμα, οὐκ ἐτόλμησεν εἴσω τῆς ἐπιταγῆς τοῦτο θεῖναι[4] τὸ πρᾶγμα, ἀλλ' ἐλεύθερον εἴασεν, ἀδέσποτον αὐτὸ ἐν τῇ ἰδίᾳ προαιρέσει τάξας τοῦ κατορθοῦντος· μόνῃ δὲ ταπεινότερον παραψελλίζει[5] τῇ γνώμῃ, λέγων· « Οὐκ ἐπιτάττω, οὐ γὰρ ἐκελεύσθην, γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος. » Ὁρᾷς πῶς ἑαυτὸν, τὴν ἀξίαν τῆς παρθενίας ἰδὼν, ἐταπείνωσεν; οὐ λέγει ὡς Παῦλος 15
κλητὸς Ἀπόστολος, ἀλλ' ὡς ἠλεημένος, ταπεινοφρονεῖ καταπλαγεὶς τὸν ὄγκον τῆς ἀρετῆς, σιγᾷ τὴν ἀποστολὴν καὶ βοᾷ τὴν συμπάθειαν, δι' ἧς ἠλεήθη καὶ τῷ Χριστῷ σύνεστι, λέγων· « Οἶδα τίς[6] ἤμην, καὶ τίς εἰμι, καὶ τίς ἡ παρθενία. Ἀγγέλων ἐστὶ τοῦτο καὶ τῶν Ἀρχαγγέλων τὸ πλεονέκτημα· Ἀγγέλους δὲ
Fol. 79, v°. διδάσκειν ἐπιταγὴν οὐκ ἔχω· ὡς οὖν ἠλεημένος, οὐχ ὡς Ἀπόστολος καὶ τοῖς 20
Ἀγγέλοις λαλῶ. Ἄγγελοι γὰρ οἱ παρθένοι παρ' ἐμοὶ κριτῇ γεγόνασιν· ὅθεν οὐ διδάσκω, ἀλλ' οὐδ' ἐπιτάττω, ἀμυδρὰν δὲ γνώμην αὐτοῖς παρατραυλίζω, ὡς πένης ὢν καὶ πλωχὸς, ὅμως ἠλεημένος. »

Ἐπειδὴ γοῦν τοῦ τοσούτου πράγματος τὸ ἐπάγγελμα τινες δόγμα τῶν[7] κεκαυμένων αἱρέσεων ἤμελλον[8] ὑποκρίνεσθαι καὶ διὰ τῆς παρθενίας ἐν κόσμῳ σεμ- 25
νύνεσθαι[9], ἐκεῖνό που μαθόντες ἢ καὶ παρακούσαντες τυχὸν οἱ τῶν αἱρέσεων, ὡς τὸν μακάριον φόρτον τῆς σωτηρίου γενέσεως παρθενία προῆκε σεμνῶς ὑπηρετήσασα καὶ τὸν κοινὸν ἀρωγὸν[10] τῆς οἰκουμένης ἐλάσθησεν, ὅπως οὖν ἐκ τοῦ κωλύειν γαμεῖν ἢ γαμίσκεσθαι πολλοὺς τῶν εὐχερῶν ἐπὶ τὴν οἰκείαν βδελυρίαν εὐχερῶς συναρπάσωσιν, ὡς εἰσηγηταὶ κορυφαίου καὶ πολλοῦ πολι- 30
τεύματος[11], τούτου χάριν ἐξεῦρον καὶ βρωμάτων ἀποχὴν, δι' ὧν φανητιῶντες τὴν πλάνην εἰργάσαντο, τὸ καλὸν ἐν κακῷ δόγματι διαφθείραντες. Ὡς γὰρ οἱ τοῦ χρυσοῦ τὸ κάλλος παραχαράττειν τολμήσαντες, τὴν εἰκόνα τοῦ βασιλέως

[1] In marg. compend. σημείωσαι. — [2] καλωπίσας. — [3] ποιήσειε τοῦ γάρ. — [4] Θεῖναι. — [5] ψελλίζει pr. manus; παρα add. sec. — [6] οἴτις pr. manus; οἶδα τὶς sec. in marg. — [7] δόγμα τινῶν. — [8] ἤμελλεν. — [9] σεμνύνεσθαι. — [10] ἀρογὸν. — [11] πολυτεύματος.

λαθραίως ἐγγράφουσιν ἐπὶ τῷ διὰ τῆς εἰκόνος νόμισμα κληθῆναι τὸ κλοπῇ χαράττομενον, καὶ ὥσπερ τὰ κίβδηλα ἵν' εἴπω δηνάρια τῷ χρυσῷ βαπτόμενα τὴν μὲν ἐπιφάνειαν λαμπρὰν ἔχει καὶ διαυγῆ, τὴν δ' ὑπόστασιν ἄτιμον ὕλην καὶ ἐπιζήμιον, οὕτως οἱ κεκαυμένοι τῶν αἱρέσεων ἔξαρχοι τὸ σεμνὸν τῆς παρθενίας κλέος καὶ ἀοίδιμον[1] εἰς τὴν ἰδίαν τῆς κακίας δόξαν μετασκήσαντες τρόπον τινὰ τὸ πρῶτον τῆς πολιτείας κάλλος παρεχάραξαν· τῷ τῆς κακοδοξίας νόμῳ τοῦτο διασκύλαντες, μαργαρίτην ὀδωδότι τραχήλῳ συνάψαντες καὶ τὴν καθαρὰν τῆς ἁγνείας οὐσίαν κατακερματίζοντες κιβδηλεύουσι, τὴν σφῶν ἀλογίαν ταῖς βαφαῖς ὡραΐζοντες.

Fol. 80. r°.

Ταύτην γοῦν τὴν μοχθηρίαν τῶν φαυλοτάτων τρόπων πρὸ πολλοῦ μαθὼν ὁ μακάριος Παῦλος εἶπεν· « [a]Ἀνασκήσονταί[2] τινες κεκαυτηριασμένοι[3] τὴν ἰδίαν συνείδησιν. » Ἀνίσταται δ' αὐτοὺς λέγει ἐν πολλῷ τῆς ἐνέδρας καθημένους τῷ λόχῳ, μεμυκότας τὸ πρῶτον, καὶ δεινὸν ἐπ' ἐσχάτου καὶ πυρῶδες ἐμβλέποντας, κεκαυτηριασμένους, μορφὴν εὐσεβοῦς καυτῆρος πρὸς ἀπάτην ἔχοντας[4], ἢ κεκαυμένους, οὓς ἡ δρόσος τοῦ Ἁγίου Πνεύματος οὐκ ἐπίανεν, οὓς ἡ χάρις τοῦ βαπτίσματος τῶν ἐγκλημάτων οὐκ ἔλυσεν, οὓς ἡ φλόγωσις τῆς Χαλδαϊκῆς καμίνου κατέπρησεν, οὓς ἡ φλογίνη ῥομφαία ἡ στρεφομένη κατέκαυσεν· εἰκῇ ῥητορεύουσι καὶ μάτην σοφίζονται τὴν κτίσιν ὑβρίζοντες καὶ τὰ κτίσματα τοῦ Θεοῦ διαβάλλοντες, τὰ γενόμενα μὲν εἰς ἀπόλαυσιν καὶ τροφὴν[5], οὐκ εἰς ὕβριν καὶ κόρον καὶ ζωῆς ἀταξίαν, ἀλλ' εἰς εὐχαριστίαν τοῖς πιστοῖς καὶ μετάληψιν. Τοιοῦτοι δὲ Μανιχαίων παῖδες ἐξεφοίτησαν· τοιαύτας αἱρέσεις ἡ τῶν Πισσιδέων[6] ἔχει καὶ τῶν Ἰσαύρων χώρα, Κιλικία τε καὶ Λυκαονία καὶ πᾶσα Γαλατία, ὧν καὶ τὰς ἐπωνυμίας ἐργῶδες ἀπαγγεῖλαι· Ἐγκρατηταὶ[7] γὰρ καὶ Ἀποτακτῖται καὶ Ἐρημῖται καλοῦνται, οὐ Χριστιανοί τινες, οὐδὲ πρόσφυγες τῆς οὐρανίου χάριτος, πίστεως μὲν[8] εὐαγγελικῆς ἀποστάται καὶ ἀπόδημοι[9], τῇ δὲ τῶν βρωμάτων ἀποχῇ, τῆς εὐσεβείας ἐγείρειν λέγοντες τὴν ἀκρόπολιν. Ἀμέλει Δοσίθεος ὁ κορυφαῖος παρ' αὐτοῖς, Κίλιξ τὸ γένος ὑπάρχων, δι' ὀκτὼ βιβλίων ὅλων κρατύνει τὸ δόγμα καὶ λαμπρότητι λέξεων μεγαλύνει τὸ πρᾶγμα, ἄθεσμον ἔργον καὶ λίαν παράνομον ἀποθρυλλῶν τὸν γάμον, λέγων « Διὰ μὲν κοινωνίας ὁ κόσμος τὴν ἀρχὴν ἔσχε· διὰ δὲ τῆς ἐγκρατείας τὸ τέλος θέλει λαβεῖν. » Οἴνου δὲ γεῦσιν καὶ κρεῶν μετάληψιν μυσαρὸν εἶναι λέγει καὶ πάμπαν στυγητὸν, ὄντως καυτῆρα πικρὸν ἀφειδῶς ἐπαίρων τοῖς τερπομένοις[10] αὐτῷ. Τοιούτῳ γὰρ λόγῳ πᾶσα μὲν ἡ κτίσις κατ' αὐτὸν ἐπάρατος, πᾶσα δ' ὕποπλος

Fol. 80, v°.

Cf. I Tim. iv, 1, 2.

[1] ἀοίδημον. — [2] ἀποστήσονται in Vulg. et supra, p. 131. — [3] κεκαυτηριασμένους. — [4] ἔχοντας in marg. sec. manus. — [5] τρυφὴν. — [6] πισσιδίων. — [7] ἐγκρατῖται. — [8] μὲν in marg. pr. manus. — [9] δήμιοι. — [10] προμένοις prior lectio; πωθομένοις posterior.

ἡ ζωὴ καὶ πᾶσιν ἐπιβλαβής· ὅθεν οἱ τοιοῦτοι τῷ θείῳ προσέκρουσαν τῶν δημιουργημάτων τὸ κάλλος ὑβρίσαντες καὶ οὐδὲν οὐδαμοῦ τὸ κοινὸν ὠφέλησαν, κἂν παρθενεύειν, κἂν τὴν ἄκραν σωφροσύνην ἐν βίῳ διδάσκωσι. Ταῦτ' οὖν ὁ Ἀπόστολος γνοὺς πρὸ χρόνων ἠσφαλίσατο τῆς ἐκκλησίας τὸ δόγμα ἐπὶ τῷ καυτήρων αἱρετικῶν πεῖραν μὴ προσίεσθαι. Ἐνταῦθα[1] δ' ἔστω σοι φίλον τῶν τοσούτων ζητημάτων περιγράψαι τὸν λόγον· εἰ δέ τί σοι προσπέσοι πάλιν ἀπορούμενον, αὖθις ἀπαντήσαντες διαλεχθησόμεθα, εὐκαιρίᾳ τῆς σχολῆς σὺν εὐμαρείᾳ τοῦ κρείττονος.

[1] ἐνταῦθ.

LIBER QUARTUS.

ARGUMENTUM.

Cap. I. — Quæstio de dicto : Præterit figura hujus mundi. (I Cor. VII, 31.)

Cap. II. — Quæstio de dicto : Nos, qui vivimus, rapiemur in nubibus. (I Thessal. VI, 14-16.)

Cap. III. — Quæstio de dicto : Prædicabitur hoc Evangelium in universo orbe. (Matth. XXIV, 14.)

Cap. IV. — Quomodo Dominus per visionem loquitur Paulo (Act. XVIII, 9, 10) et quomodo permisit Petrum crucifigi?

Cap. V. — Quæstio de dicto : Videte, multi enim venient, dicentes : Ego sum Christus. (Matth. XXIV, 5.)

Cap. VI. — Quæstio : Quis sermo de Judicio in Apocryphis?

Cap. VII. — Quæstio de dicto : Complicabitur cœlum sicut liber, et omnes stellæ cadent sicut folia. (Isai. XXXIV, 4.)

Cap. VIII. — Quæstio de fermento, de grano sinapis et de margarita. (Matth. XIII, 31-33, 45, 46.)

Cap. IX. — Quæstio de dicto : Abscondisti hæc a sapientibus et prudentibus, et revelasti ea parvulis. (Matth. XI, 25.)

Cap. X. — Quæstio de dicto : Non egent qui sani sunt medico, sed qui male habent. (Luc. V, 31; Matth. IX, 12.)

Cap. XI. — Solutio de dicto : Præterit figura hujus mundi.

Cap. XII. — Solutio de dicto : Nos, qui vivimus, rapiemur in nubibus.

Cap. XIII. — Solutio de dicto : Prædicabitur hoc Evangelium in universo orbe.

Cap. XIV. — Solutio de supplicio Petri et Pauli.

Cap. XV. — Solutio de dicto : Videte, multi enim venient dicentes : Ego sum Christus.

Cap. XVI. — Solutio de Judicio in Apocryphis et de dicto : Complicabitur cœlum sicut liber.

Cap. XVII. — Solutio de fermento, de grano sinapis et de margarita et de dicto : Abscondisti hæc a sapientibus.

Cap. XVIII. — Solutio de dicto : Non egent qui sani sunt medico, sed qui male habent.

Cap. XIX. (Cod. ια'.) — Quæstio de dicto : Sed abluti estis, sed sanctificati estis. (I Cor. VI, 11.)
Cap. XX. (Cod. ιβ'.) — Quæstio de Monarchia.
Cap. XXI. (Cod. ιγ', ιδ'.) — Quæstio de Angelis immortalibus et de Tabulis digito Dei scriptis. (Exod. XXXI, 18.)
Cap. XXII. (Cod. ιε'.) — Quæstio de incarnatione Verbi.
Cap. XXIII. (Cod. ιϛ'.) — Quæstio de dicto : Deos non maledices. (Exod. XXII, 28.)
Cap. XXIV. (Cod. ιζ'.) — Quæstio de resurrectione carnis.
Cap. XXV. — Solutio de dicto : Sed abluti estis, sed sanctificati estis.
Cap. XXVI. — Solutio de Monarchia.
Cap. XXVII. — Solutio de Angelis immortalibus et de Tabulis digito Dei scriptis.
Cap. XXVIII. — Solutio de incarnatione Verbi.
Cap. XXIX. — Solutio de dicto : Deos non maledices.
Cap. XXX. — Solutio de resurrectione carnis.

TITULUS TOTIUS OPERIS.

Μακαρίου Μάγνητος Ἀποκριτικὸς ἢ Μονογενὴς πρὸς Ἕλληνας περὶ τῶν ἀπορουμένων ἐν τῇ Καινῇ Διαθήκῃ ζητημάτων καὶ λύσεων.

Τάδε περιέχει ἡ τετάρτη βίβλος τῶν Ἀποκριτικῶν πρὸς Ἕλληνας λόγων.

α'. Περὶ τοῦ πῶς εἴρηται· Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. (I Cor. VII, 31.)

β'. Πῶς εἴρηται· Ἡμεῖς οἱ ζῶντες ἁρπαγησόμεθα[1] ἐν νεφέλαις. (I Thessal. IV, 16.)

γ'. Πῶς λέγει· Κηρυχθήσεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ. (Matth. XXIV, 14.)

δ'. Πῶς λαλεῖ δι' ὁράματος ὁ Κύριος τῷ Παύλῳ, καὶ πῶς συνεχώρησε σταυρωθῆναι Πέτρον. (Act. XVIII, 9, 10.)

ε'. Τίς ὁ λόγος· Βλέπετε· πολλοὶ γὰρ ἐλεύσονται λέγοντες Ἐγώ εἰμι ὁ Χριστός. (Matth. XXIV, 5.)

ς'. Τίς ὁ λόγος τῆς κρίσεως ἐν τοῖς ἀποκρύφοις.

ζ'. Πῶς εἴρηται· Ὁ οὐρανὸς <ἑλιγήσεται> ὡς βιβλίον, καὶ τὰ ἄστρα πεσεῖται ὡς φύλλα. (Isai. XXXIV, 4.)

η'. Τίς ὁ λόγος τῆς ζύμης, καὶ τοῦ σινάπεως, καὶ τοῦ μαργαρίτου. (Matth. XIII, 31-33; 45, 46.)

θ'. Πῶς εἴρηται· Ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. (Matth. XI, 25.)

ι'. Τίς ὁ λόγος· Οὐ χρείαν ἔχουσιν ἰατροῦ οἱ ὑγιαίνοντες, ἀλλ' οἱ κακῶς ἔχοντες (Luc. V, 31; Matth. IX, 12.)

ια'. Τίς ὁ λόγος· Ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε[2]. (I Cor. VI, 11.)

ιβ'. Τίς ὁ λόγος ὁ περὶ τῆς μοναρχίας.

ιγ'. Τίς ὁ λόγος τῶν ἀγγέλων ἐχόντων ἀφθαρσίαν.

ιδ'. Τίς ὁ λόγος, δακτύλῳ Θεοῦ γράφεσθαι τὰς πλάκας. (Exod. XXXI, 18.)

ιε'. Πῶς τὸ Θεῖον ἐν Μαρίᾳ σαρκωθὲν ἐγεννήθη.

ις'. Πῶς εἴρηται· Θεοὺς οὐ κακολογήσεις. (Exod. XXII, 28.)

ιζ'. Τίς ὁ λόγος ὁ περὶ τῆς ἀναστάσεως τῆς σαρκός.

[1] ἁρπαγησώμεθα. — [2] ὑγιάσθητε.

PROŒMIUM.

Fol. 81, v°. Πλείστων ἡμῖν λόγων ὑπὸ τῆς ἑλληνικῆς δόξης κεκινημένων καὶ τὴν οὖσαν ἐν αὐτοῖς ἀσάφειαν σαφῆ κατασήσασιν ἱδρῶτι πολλῷ καὶ πόνῳ καὶ καμάτῳ, τέταρτον, ὦ Θεόσθενες, ἀγῶνα τοῦτον ἡμῖν σφοδρῶς κατεπήγαγεν ὁ Φιλολόγος, ὡς εἰπεῖν, ὃν σοῦ συναιρουμένου μόλις ἐθαρσήσαμεν· ὃν δ' ἔχει τὸν λόγον ἀφηγητέον ἤδη.

Συναχθέντων αὖθις οὐκ ὀλίγων, ἀλλὰ καὶ σφόδρα πολλῶν καὶ λίαν ἐπιφανῶν, ὥσπερ ἐξ ὑποθέσεως τινὸς[1] διατρέπειν ὑπ' ὄψιν ἱκανῶν ἡμᾶς ἐπιτηδεύσας προσώπων, καὶ τὴν ἀποσολικὴν μετὰ γέλωτος πολλοῦ διεσπάρατε δόξαν λέγων.

[1] *τινὸς* in marg. add. pr. manus.

CAPUT PRIMUM.

Quæstio de dicto : Præterit figura hujus mundi. (I Cor. VII, 31.)

PHILOSOPHUS.

Ἕλλην. Πῶς παράγειν ὁ Παῦλος λέγει τὸ σχῆμα τοῦ κόσμου; καὶ πῶς δυνατὸν τοὺς ἔχοντας ὡς μὴ ἔχοντας εἶναι καὶ τοὺς χαίροντας ὡς μὴ χαίροντας[1], καὶ τὰς λοιπὰς τούτοις γραολογίας εἶναι πιθανάς; Πῶς γὰρ δυνατὸν τὸν ἔχοντα μὲν ὡς μὴ ἔχοντα γενέσθαι; πῶς δὲ πιθανὸν τὸν χαίροντα ὡς μὴ χαίροντα; ἢ πῶς τὸ σχῆμα τοῦ κόσμου τούτου παρελθεῖν δυνατόν; Τίς δ' ὁ παράγων ἔσται καὶ τίνος χάριν; Εἰ μὲν γὰρ ὁ δημιουργὸς τοῦτο παράξειε, διαβληθήσεται, ὡς τὸ κείμενον ἀσφαλῶς κινῶν καὶ μεταφέρων· εἰ δ' ἐπὶ τὸ κρεῖττον παράξει τὸ σχῆμα, κατηγορεῖται κἀν τούτῳ πάλιν, ὡς οὐ συνιδὼν ἐν τῇ δημιουργίᾳ τὸ ἁρμόζον καὶ πρέπον σχῆμα τῷ κόσμῳ, ἀλλὰ τοῦ κρείττονος λόγου λειπόμενον ἔκτισεν αὐτὸν ὥσπερ ἀτελῆ. Πόθεν γοῦν ἰσλέον ὡς εἰς τὸ καλὸν ἡ τοῦ κόσμου φύσις ὀψὲ τῶν χρόνων ἀλλατλομένη λήξειέ ποτε; Τί δὲ τὸ συμφέρον τὴν τῶν φαινομένων τάξιν ἀλλαγῆναι; Εἰ μὲν γὰρ κατηφῆ καὶ λύπης αἴτια τὰ τῶν ὁρωμένων ὑπάρχει πράγματα, καταψάλλεται καὶ τούτοις ὁ δημιουργὸς, καταυλούμενος εὐλόγοις αἰτίαις, ὅτι λυπηρὰ καὶ ταράττοντα τὴν λογικὴν φύσιν ἐτεκτήνατο τοῦ κόσμου τὰ μέρη, καὶ μεταγνοὺς ἔκρινεν ἀλλάξαι τὸ πᾶν. Μή τι γοῦν ὁ Παῦλος τῷ λόγῳ τούτῳ ὡς μὴ ἔχοντα διδάσκει τὸν ἔχοντα φρονεῖν[2], ἐπεὶ τὸν κόσμον ἔχων ὁ κτίσας, ὡς μὴ ἔχων, τούτου παράγει τὸ σχῆμα, καὶ τὸν χαίροντα λέγει μὴ χαίρειν, ἐπεὶ τὸ χάριεν καὶ λαμπρὸν κτίσμα ὁ δημιουργὸς βλέπων, οὐ τέρπεται, καθάπερ δ' ἐπ' αὐτῷ πολλὰ λυπούμενος, μετάγειν τοῦτο καὶ μεταφέρειν διεβουλεύσατο. Μετρίῳ μὲν οὖν γέλωτι τοῦτο τὸ λεξίδιον[3] παραχωρήσωμεν.

Fol. 8a, r°.

[1] ὡς μὴ χαίροντας om. in textu, add. in marg. pr. manus. — [2] φωνεῖν. — [3] τούτῳ γέλωτι τὸ λεξίδιον.

CAPUT II.

Quæstio de dicto : Nos, qui vivimus, rapiemur in nubibus. (I Thessal. IV, 14-16.)

Ἄλλο δ' ἐμβρόντητον καὶ πεπλανημένον ὑπ' αὐτοῦ ῥηθὲν ἴδωμεν[1] σόφισμα ἐν ᾧ φησιν· « Ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας εἰς τὴν παρουσίαν τοῦ Κυρίου, ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ' οὐρανοῦ καὶ οἱ νεκροὶ <οἱ> ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα[2] ἐν νεφέλῃ, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. » Τοῦτ' οὐρανόμηκες ὄντως καὶ μετεωρότερον
fol. 82, v°. τὸ πρᾶγμα[3], ὑπέρογκον τὸ ψεῦσμα καὶ ἀνώτερον· τοῦτο καὶ τοῖς ἀλόγοις ἐπαδόμενον ζῴοις, ἀναγκάζει βληχᾶσθαι καὶ κρώζειν ἐν ὑποκρίσει τὸν ἔξηχον πάταγον[4], ἐπὰν γνῷ ἐνσάρκους ἀνθρώπους, ὡς τὰ πετεινὰ, πετομένους ἐν ἀέρι ἢ βαστάζομένους[5] ἐπὶ νεφέλης. Πολὺς γὰρ οὗτος τῆς ἀλαζονείας[6] ὁ κόμπος, ζῷα τῷ φόρτῳ πεπιλημένα τῶν σωματικῶν ὄγκων[7] φύσιν ἀναλαβεῖν πτερωτῶν ὀρνέων καὶ διαπεράν ὥσπερ τι πέλαγος τὸν πολὺν ἀέρα, ὀχήματι νεφέλης ἀποχρησάμενα. Εἰ γὰρ καὶ δυνατὸν, ἀλλὰ τερατῶδες καὶ τῆς ἀκολουθίας ἐστὶν ἀλλότριον. Ἡ γὰρ δημιουργὸς ἄνωθεν φύσις τόπους ἁρμόζοντας τοῖς γινομένοις συναπεκλήρωσε καὶ καταλληλον ἐνομοθέτησεν ἔχειν ἐναύλισμα, ἐνύδροις θάλασσαν, χερσαίοις ἤπειρον, πτηνοῖς ἀέρα, φωστῆρσιν αἰθέρα[8]. Ἐν γοῦν ἐκ τούτων ἐκ τῆς οἰκείας ἂν μετάρῃ μονῆς, ἀφανισθήσεται εἰς ξένην μετελθὸν δίαιταν καὶ μονήν· οἷον εἰ τὸ ἔνυδρον βουληθείης λαβεῖν κἀπὶ τῆς ξηρᾶς διάγειν βιάσῃ, φθείρεται ῥᾷον ἐξαπολλύμενον· εἰ δὲ χερσαῖον αὖθις καὶ αὐχμηρὸν εἰς τὸ ὕδωρ βάλλῃς, ἀποπνιγήσεται· κἂν τοῦ ἀέρος χωρίσῃς[9] πτηνὸν, οὐχ ὑπομενεῖ· κἂν ἀστέριον ἐξ αἰθέρος[10] σῶμα μεταβιβάσῃς, οὐχ ὑποστήσεται. Ἀλλ' οὐδ' ὁ θεῖος καὶ δραστήριος τοῦ Θεοῦ[11] Λόγος τοῦτ' ἐποίησεν ἢ πράξει ποτὲ, καίπερ δυνάμενος τῶν γινομένων τὰς μοίρας ἀλλάττειν· οὐ γὰρ καθ' ὃ δύναται πράττει τι καὶ θέλει, ἀλλὰ καθ' ὃ τὴν ἀκολουθίαν σώζει τὰ πράγματα, τὸν τῆς εὐταξίας φυλάττει νόμον. Οὐδὲ γοῦν τὴν γῆν, εἴ γε καὶ

[1] ἴδομεν. — [2] ἁρπαγησώμεθα. — [3] πράγματος. — [4] πάτταγον. — [5] In textu βαστάζομένης; in marg. ἴσ(ως) βαστάζομένους sec. manus. — [6] ἀλαζωνείας. — [7] ὄγκων in marg. add. pr. manus. — [8] ἀέρα in textu, αἰθέρα in marg. pr. manus. — [9] χωρήσῃς. — [10] αἰθερίου. — [11] Θείου.

δύναται, ναυτίλλεσθαι ποιεῖ, οὐδ' ἀροῦσθαι πάλιν καὶ γεωργεῖσθαι ποιεῖ τὴν
Fol. 83, r°. θάλασσαν, οὐδὲ τὴν ἀρετὴν καθ' ὃ δύναται[1] ποιεῖ κακίαν οὐδὲ τὴν κακίαν
αὖθις ἀρετήν, οὐδὲ τὸν ἄνθρωπον παρασκευάσει πλησὸν γενέσθαι, οὐδὲ τὰ
ἄστρα κάτω καὶ τὴν γῆν ἄνω. Ὅθεν εὐλόγως μεστὸν ἐξηχίας τὸ λέγειν ἀν-
θρώπους ἁρπαγήσεσθαι εἰς ἀέρα ποτέ· ἀρίδηλον δὲ τὸ ψεῦδος τοῦ Παύλου ἐν
τῷ λέγειν «Ἡμεῖς οἱ ζῶντες· ἢ ἔτη γὰρ ἐξ οὗ λέγει τριακόσια[2] καὶ οὐδὲν
οὐδαμοῦ οὐδ' αὐτὸς ὁ Παῦλος μετὰ καὶ ἄλλων ἡρπάγη σωμάτων. Καὶ τοῦτο μὲν
ὧδε σιγὴν ἐχέτω τὸ κεκλονημένον ῥῆμα τοῦ Παύλου.

[1] *οὐδ' ἀροῦσθαι — δύναται.* Hanc lineam, prius omissam, add. pr. manus. — [2] *τριάκοντα.*

CAPUT III.

Quæstio de dicto : Prædicabitur hoc Evangelium in universo orbe.
(Matth. xxiv, 14.)

Ἐκεῖνο δ' αὖθις μνημονευτέον ὃ ὁ Ματθαῖος εἶπε, καθάπερ ἐν μύλωνι κατακεκλιμένος « Καὶ κηρυχθήσεται » λέγων « τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ καὶ τότε ἥξει τὸ τέλος. » Ἰδοὺ γὰρ πᾶσα τῆς οἰκουμένης ῥύμη τοῦ Εὐαγγελίου τὴν πεῖραν ἔχει καὶ τέρμονες ὅλοι καὶ κόσμου πέρατα τὸ Εὐαγγέλιον ὅλον κατέχουσι, καὶ τέλος οὐδαμοῦ, οὐδ' ἥξει ποτέ. Καὶ τοῦτο μὲν ἐν παραβύσῳ λελέχθω τὸ ῥῆμα.

CAPUT IV.

Quomodo Dominus per visionem loquitur Paulo et quomodo permisit Petrum crucifigi?

[a] Cf. Act. xviii. 9-10.

Ἴδωμεν δ' ἐκεῖνο τὸ ῥηθὲν τῷ Παύλῳ· «[a] Εἶπε δὲ δι' ὁράματος ὁ Κύριος ἐν νυκτὶ τῷ Παύλῳ· « Μὴ φοβοῦ, ἀλλὰ λάλει, ὅτι μετὰ σοῦ εἰμι καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε.» Καὶ ὅσον οὐδέπω ἐν Ῥώμῃ κρατηθεὶς τῆς κεφαλῆς ἀποτέμνεται οὗτος ὁ κομψὸς, ὁ λέγων ὅτι Ἀγγέλους κρινοῦμεν, οὐ μὴν ἀλλὰ καὶ Πέτρος λαβὼν ἐξουσίαν βόσκειν τὰ ἀρνία, τῷ σταυρῷ προσηλωθεὶς ἀνασκολοπίζεται· καὶ ἄλλοι δὲ μυρίοι τούτοις ὁμόδοξοι οἱ μὲν ἐκαύθησαν, οἱ δ' ἄλλοι τιμωρίαν ἢ λώβην δεξάμενοι διεφθάρησαν· τοῦτο δ' οὐκ ἄξιον Θεοῦ
Fol. 83. v°. γνώμης, ἀλλ' οὐδ' ἀνδρὸς εὐσεβοῦς εἰς αὐτοῦ χάριν καὶ πίστιν πλῆθος ἀνδρῶν ἀπανθρώπως κολάζεσθαι, τῆς προσδοκωμένης[1] ἀναστάσεως καὶ ἐλεύσεως οὔσης ἀδήλου.

[1] προσδοκομένης.

CAPUT V.

Quæstio de dicto : Videte; multi enim venient, dicentes : Ego sum Christus. (Matth. xxiv, 5.)

Ἔνι καὶ ἕτερον ἐκ τοῦ φανεροῦ λαβεῖν ἀμφίβολον ὧδε ῥηματίου, ἔνθα φησὶν ὁ Χριστός· « Βλέπετε μή τις ὑμᾶς[1] πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, Ἐγώ εἰμι ὁ Χριστὸς, καὶ πολλοὺς πλανήσουσι. » Καὶ ἰδοὺ τριακόσια ἢ καὶ πεπαιτέρω διέπνευσεν ἔτη καὶ οὐδεὶς οὐδαμοῦ τοιοῦτος ἐπέστη· μή τί γε Ἀπολλώνιον τὸν Τυανέα φήσετε ἄνδρα φιλοσοφίᾳ πάσῃ κεκοσμημένον· ἕτερον δ' οὐκ ἂν εὕροιτε· ἀλλ' οὐ περὶ ἑνὸς, ἀλλὰ περὶ πολλῶν λέγει ἐγερθήσονται.

[1] ἡμᾶς.

CAPUT VI.

Quæstio : Quis sermo de Judicio in Apocryphis?

Περιουσίας δ' ἕνεκεν λελέχθω κἀκεῖνο τὸ λελεγμένον ἐν τῇ Ἀποκαλύψει τοῦ Πέτρου[1]. Εἰσάγει τὸν οὐρανὸν ἅμα τῇ γῇ κριθήσεσθαι οὕτως· « Ἡ γῆ, φησὶ, παρασιήσει πάντας τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως καὶ αὐτὴ μέλλουσα κρίνεσθαι σὺν καὶ τῷ περιέχοντι οὐρανῷ. » Οὐδεὶς δ' οὕτως ἀπαίδευτος οὐδ' οὕτως ἀναίσθητος ὃς οὐκ οἶδεν ὅτι τὰ μὲν περὶ τὴν γῆν τετάρακται καὶ τὴν τάξιν οὐ πέφυκε σώζειν, ἀλλ' ἔστιν ἀνώμαλα, τὰ δὲ ἐν τῷ οὐρανῷ τάξιν ὁμοίαν ἔχει διαπαντὸς καὶ ἀεὶ κατὰ τὰ αὐτὰ προχωρεῖ καὶ οὐδέποτε ὑπαλλάττεται, ἀλλ' οὐδ' ὑπαλλαγήσεταί ποτε· ποίημα γὰρ ἀκριβέστατον καθέστηκε τοῦ Θεοῦ· ὅθεν τὰ κρείττονος ἀξιωθέντα μοίρας λυθῆναι ἀμήχανον, ἅτε θείῳ πεπηγότα καὶ ἀκηράτῳ θεσμῷ. Τίνος δ' ἕνεκεν οὐρανὸς κριθήσεται; ἡμαρτηκὼς δέ τι
Fol. 84, r°. φανήσεταί ποτε, ὁ τὴν ἐξ ἀρχῆς ὑπὸ Θεοῦ τάξιν δοκιμασθεῖσαν φυλάττων καὶ διαμένων ἐπὶ τῆς ταυτότητος ἀεί; εἰ μή τί γέ τις ἐκ διαβολῆς τὸν οὐρανὸν ἄξιον εἶναι κρίσεως ῥητορεύσει τῷ κτίσαντι, ὡς τὸν κριτὴν ἀνασχόμενον κατ' αὐτοῦ τινα τερατεύεσθαι[2] οὕτω θαυμαστὸν, οὕτω μεγάλα.

[1] Vid. Hilgenfeld, Novum Testamentum extra canonem receptum, fasc. IV, p. 74 et sq. — [2] ταρατεύεσθαι.

CAPUT VII.

Quæstio de dicto : Complicabitur cœlum sicut liber, et omnes stellæ cadent sicut folia. (Isai. xxxiv, 4.)

Καὶ ἐκεῖνο δ' αὖθις λέγει, ὃ καὶ ἀσεβείας μεστὸν ὑπάρχει, τὸ ῥῆμα φάσκον· « Καὶ τακήσεται πᾶσα δύναμις οὐρανοῦ καὶ ἑλιχθήσεται ὁ οὐρανὸς ὡς βιβλίον· καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς. » Ἀπὸ τερατώδους καὶ τοῦτο ψευδολογίας καὶ ὑπερφυοῦς ἀλαζονείας κεκόμπασται τὸ, « [a]Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. » Ποῖος[1] γάρ τις ἂν εἴποι τοῦ Ἰησοῦ τοὺς λόγους σήσεσθαι, εἴπερ οὐρανὸς καὶ γῆ μηκέτ' εἶεν; ἄλλως τε εἰ τοῦτο πράξειεν ὁ Χριστὸς καὶ κατάξειε τὸν οὐρανόν, τοὺς ἀσεβεστάτους τῶν ἀνθρώπων μιμήσεται, οἳ τὰ ἑαυτῶν τέκνα[2] διαφθείρουσιν· ὅτι γὰρ οὐρανοῦ καὶ γῆς πατήρ ἐστιν ὁ Θεός, ὑπὸ τοῦ Υἱοῦ ὡμολόγηται, « [b]Πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς » λέγοντος· Ἰωάννης δ' ὁ Βαπτιστὴς μεγεθύνει τὸν οὐρανὸν καὶ ἐξ αὐτοῦ λέγει τὰ Θεῖα χαρίσματα πέμπεσθαι, λέγων· « [c]Οὐδεὶς δύναται ποιεῖν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ » καὶ οἱ Προφῆται δὲ ἅγιον τοῦ Θεοῦ οἰκητήριον λέγουσιν ὑπάρχειν τὸν οὐρανὸν ἐν τῷ, « [d]Ἔπιδε[3] ἐκ κατοικητηρίου ἁγίου καὶ εὐλόγησον τὸν λαόν σου τὸν Ἰσραήλ. » Εἴ γε ὁ τοσοῦτος καὶ τηλικοῦτος ἐν μαρτυρίαις οὐρανὸς παρελεύσεται, τίς ἔσται καθέδρα λοιπὸν τοῦ δεσπόζοντος; εἰ δὲ καὶ τὸ τῆς γῆς στοιχεῖον ἀπόλλυται, τί τὸ ὑποπόδιον[4] ἔσται τοῦ καθημένου, λέγοντος αὐτοῦ· « [e]Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. » Καὶ περὶ μὲν τοῦ παρελθεῖν τὸν οὐρανὸν καὶ τὴν γῆν ὧδε.

[a] Matth. xxiv, 35.

[b] Matth. xi, 25.

[c] Ioh. iii, 27.

[d] Deut. xxvi, 15.

Fol. 84, v°.

[e] Isai. lxvi, 1.

[1] ποῖα. — [2] τέκνα in marg. add. rec. manus. — [3] ἐπεῖδε. — [4] ἐμπόδιον pr. manus in ὑποπόδιον mut. sec.

CAPUT VIII.

Quæstio de fermento, de grano sinapis et de margarita.
(Matth. XIII, 31-33; 45, 46.)

Ἄλλο δὲ μυθωδέσ7ερον[1] τούτου καθάπερ ἐν νυκτὶ δόγμα ψηλαφήσωμεν ἐν τῷ « Ὁμοία ἐσ7ὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, » καὶ πάλιν « Ὁμοία ἐσ7ὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, » καὶ αὖθις « Ὁμοία ἐσ7ὶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας. » Ταῦτα γὰρ οὐκ ἀνδρῶν, ἀλλ' οὐδ' ὀνειροπολουσῶν[2] γυναικῶν τὰ μυθάρια· ὅταν γάρ τις περὶ μεγάλων καὶ[3] θείων ἀπαγγέλλῃ, κοινοῖς μὲν ὀφείλει καὶ ἀνθρωπίνοις χρῆσθαι πράγμασι σαφηνείας[4] ἕνεκεν, οὐ μὴν οὕτω χυδαίοις καὶ ἀσυνέτοις· ταῦτα <δὲ> τὰ ῥήματα, μετὰ τοῦ ταπεινὰ εἶναι καὶ μὴ πρέποντα τηλικούτοις πράγμασιν, οὐδεμίαν ἔχει ἐν ἑαυτοῖς ἔννοιαν συνετὴν οὐδὲ σαφήνειαν· καίτοι σφόδρα προσῆκεν αὐτὰ εἶναι σαφῆ διὰ τὸ μὴ σοφοῖς μηδὲ συνετοῖς, ἀλλὰ νηπίοις γεγράφθαι.

[1] μυθοδέσ7ερον. — [2] ὀνειροπολούντων. — [3] ἢ. — [4] σαφηνίας.

CAPUT IX.

Quæstio de dicto : Abscondisti hæc a sapientibus et prudentibus, et revelasti ea parvulis. (Matth. xi, 25.)

Εἴ γε δεῖ κἀκείνην τὴν πεῦσιν μηρυκήσασθαι[1] ὡς ὁ Ἰησοῦς λέγει, « Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις, » καὶ ἐν τῷ Δευτερο-
[a] Deut. xxix. 29. νομίῳ δὲ γέγραπται, « [a]Τὰ κρυπτὰ Κυρίῳ τῷ Θεῷ ἡμῶν καὶ τὰ φανερὰ ἡμῖν· » σαφέστερα οὖν δεῖ εἶναι καὶ οὐκ αἰνιγματώδη τὰ τοῖς νηπίοις καὶ ἀσυνέτοις
Fol. 85, r°. γραφόμενα· εἰ γὰρ ἀπὸ τῶν σοφῶν κέκρυπται τὰ μυστήρια, νηπίοις δὲ καὶ θηλαζομένοις ἀλόγως[2] ἐκκέχυται, βέλτιον τὴν ἀλογίαν ζηλοῦν καὶ τὴν ἀμαθίαν, καὶ τοῦτο τῆς σοφίας τοῦ ἐπιδημήσαντος τὸ μέγα κατόρθωμα[3], κρύψαι μὲν τῶν σοφῶν τὴν ἀκτῖνα τῆς γνώσεως, ἄφροσι δὲ ταύτην ἐκκαλύψαι καὶ βρέφεσιν.

[1] Prior lectio *μαρυκήσασθαι*; supra *α* parvum *η* pallid. atram. scriptum. — [2] *ἀλόγως* in marg. add. sec. manus. — [3] *κατόρμα*.

CAPUT X.

Quæstio de dicto : Non egent qui sani sunt medico, sed qui male habent. (Luc. v, 31; Matth. ix, 12.)

Ἄλλο δὲ τούτου πρᾶγμα πολὺ λογιώτερον (κατ' ἀντίφρασιν λέγω) θέμις διασκοπῆσαι· « Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. » Περὶ δὲ τῆς οἰκείας ἐπιδημίας ὁ Χριστὸς ταῦτ' ἐρραψώδει[1] τοῖς ὄχλοις. Εἰ γοῦν διὰ τοὺς κάμνοντας, ὡς αὐτὸς λέγει, ταῖς ἁμαρτίαις ἐπέστη, ἆρ' οὐκ ἔκαμνον οἱ πατέρες ἡμῶν, οὐδ' ἐνοσηλεύοντο ταῖς ἁμαρτίαις οἱ πρόγονοι; Εἴ γε χρείαν οὐκ ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, καὶ οὐκ ἦλθε καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν ὡς τὸν Παῦλον δή[2] λέγειν οὕτως, « Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· » εἰ γοῦν ταῦθ' οὕτως ἔχει καὶ ὁ πεπλανημένος μὲν[3] καλεῖται, ὁ δὲ νοσῶν θεραπεύεται, καὶ καλεῖται μὲν ὁ ἄδικος, ὁ δὲ δίκαιος οὐ καλεῖται, ὁ μητε κληθεὶς μήτε τῆς τῶν Χριστιανῶν δεόμενος θεραπείας εἴη ἂν ἁπλανής τε καὶ δίκαιος· ὁ γὰρ μὴ χρῄζων ἰατρείας τὸν παρὰ τοῖς πιστοῖς λόγον ἀποστραφεὶς τυγχάνει· καὶ ὅσῳ ἂν μᾶλλον ἀποστραφῇ, τοσούτῳ μᾶλλον δίκαιος ἔστ αι καὶ ὑγιαίνων καὶ ἁπλανής.

1 Tim. I, 15.

Fol. 85. v°.

CHRISTIANUS[4].

Μετὰ τοσαύτην κομψείαν καὶ δεινότητα λόγων, πᾶσα μὲν ἔπληξεν ἡ τῶν παρόντων ἀκρόασις, πᾶσα δὲ συνεστάλη <ἡ> τῶν λογάδων αἴσθησις· ἡμεῖς δὲ τὸν κανόνα τῆς Καινῆς Διαθήκης προπηλακιζόμενον οὕτω θεασάμενοι, τὸν νοῦν ἐπλήγημεν καὶ τὴν ψυχὴν ἠλγήσαμεν καὶ πᾶσαν τοῦ σώματος αἴσθησιν ἐταράχθημεν, ὡς μικροῦ λέγειν καὶ ἡμᾶς· « Κύριε, σῶσον, ἀπολλύμεθα· » τοσαύτῃ δὲ μηχανῆς ζάλῃ κεκυκλωμένοι, ἀοράτῳ δέ ποθεν ἐπικουρίᾳ θαρρήσαντες, πρὸς τὴν ἐπικειμένην ἔστημεν καταιγίδα, ἀντιπρόσωπον αὐτῇ τὴν τοῦ Ἁγίου Πνεύματος συμμαχίαν ποιούμενοι, καὶ δίκην εἱρεσίας τὴν κώπην τινάττειν τῆς γλώττης ἠρξάμεθα καὶ τὸ πρῶτον πατάσσειν κῦμα κατεσπεύσαμεν.

[1] ἐραψώδει. — [2] καὶ τὸν Παῦλον δὲ. — [3] μὲν in marg. add. sec. manus. — [4] Χρι in codicis margine.

CAPUT XI.

Solutio de dicto : Præterit figura hujus mundi. (I Cor. VII, 31.)

Τοῦτο δ' ἦν τὸ περὶ τοῦ σχήματος τοῦ κόσμου καὶ πῶς[1] παράγει. Ὄντως[2] ὥσπερ τὸ φαινόμενον τοῦ κόσμου παράγει σχῆμα, οὕτως παρῆλθεν ἡ φαντασία τοῦ λέγοντος, οὕτω τὸ νέφος τῆς σοφιστικῆς ἐσκεδάσθη κακίας, οὕτω τὸ βρατίόμενον κῦμα τῶν λόγων ἔπεσεν. Εἴπωμεν οὖν ὡς πολλαχῶς νοεῖται τὸ σχῆμα τοῦ κόσμου τούτου· δύναται γὰρ σχῆμα τοῦ κόσμου τυγχάνειν καὶ ἡ πρόσκαιρος αὕτη ζωὴ καὶ πολυστένακτος· σχῆμα τοῦ κόσμου λάβε καὶ τὴν ἀνόμοιον ἡλικίαν τοῦ σώματος, ἥτις ἀπὸ τοῦ βρέφους εἰς μείρακα παράγει, αὖθις εἰς ἄνδρα καὶ πάλιν εἰς πρεσβύτην καὶ τέλος εἰς γέροντα· σχῆμα γὰρ οὐδὲν ἕτερόν ἐστιν ἡ φαντασία πράγματος· ὡς γὰρ ἀνδρὸς σκιὰ παρεπομένη τυγχάνει μὲν σχῆμά τι καὶ ἀνδρὸς ἀφήγησις, παράγει δὲ θᾶττον ἐπὶ τέλει τοῦ φωτὸς ἀναλουμένη καὶ φεύγουσα καὶ τὴν τῆς ἀκίνος βολὴν οὐχ ὑπομένουσα, οὕτως ἡ φαντασία τῶν σωματικῶς ὑπαρχόντων ἐνθάδε σχῆμα κόσμου
Fol 86, r°. καὶ σκιὰ τυγχάνουσα οὐκ ἔχει μόνιμον[3] καὶ ἀσφαλῆ τὴν στάσιν, ταχινῇ δὲ περιόδῳ τῶν χρόνων παράγει.

Σχῆμα κόσμου καὶ τὴν ἀπάτην νόμισον, τὰς ἐν ἀνθρώποις ἀξίας, τάξιν, στρατείαν, ἡγεμονίαν, ἀρχήν, ὑπάρχους, εἰ θέλεις, καὶ βασιλείαν αὐτήν. Τούτων ὅλων τὸ σχῆμα, ἤτοι τὴν λαμπρότητα (καὶ γὰρ ἐπὶ λαμπρότητος τὸ σχῆμα λαμβάνεται) βραχεῖα καιροῦ[4] ῥοπὴ παρήγαγε· χθὲς τὰ βασιλειά τις οἰκῶν, τήμερον τὴν ἐσχάτην φυλακὴν ἐκληρώσατο· ἄλλος τὸ βῆμα[5] τῆς ὑπάρχου διέπων ἐξουσίας, ἁρπαγεὶς εἰς τὸ τῶν κατεγνωσμένων ἐξήθη δεσμωτήριον· ἕτερος ναυμαχήσας καὶ λαμπρὸν σχῆμα φαίνων τοῦ κατορθώματος, παρ' αὐτὰ γυμνωθεὶς ἀλητεύει κακοπαθῶν· ἄλλος στρατηγήσας καὶ βαρβαρικὴν ἀναλώσας φάλαγγα, μέλλων ὅσον οὐδέπω ἐν δευτέροις τῶν βασιλέων θρόνοις ἀποκαθέζεσθαι, βασκάνου τινὸς ἔργον μετὰ τὴν νίκην γενόμενος, ἀντὶ τῆς προσδοκωμένης λαμπρᾶς εὐημερίας εἰς ἀφεγγῆ τῶν κατοιχομένων κατηνέχθη βάραθρον. Οὕτω παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ χρὴ τὸν ἔχοντα φρονεῖν ὡς μὴ ἔχοντα καὶ τὸν χαίροντα διάγειν ὡς λυπούμενον. Ἕτερος ἐν

[1] Πῶς in marg. add. sec. manus. — [2] ὄντως pr. manus; in οὕτως mut. sec. — [3] μόνι (sic) pr. manus μον add. sec. — [4] καιροῦ ροῦ pr. manus; eadem in marg. add. προσβολή. — [5] βῆ tantum pr. manus; μα add. sec.

κοπρίᾳ καὶ δυσωδίᾳ καθήμενος, ἐξαίφνης λαμπρὸς ὤφθη καὶ ἐπιφανὴς, τὸ
σλυγνὸν τῆς κατηφείας ἀποβαλὼν σχῆμα· ἄλλος ἐν μηλωτῇ καὶ πήρᾳ τρυχό-
Fol. 86. v°. μενος, καὶ πᾶσαν ἀγροικίαν περιάγων ἐλεεινὸς, ἔκ τινος ἀφορμῆς γενόμενος
ὄλβιος, περίβλεπτος ἀρχοντικαῖς ἐφάνη δυνάμεσι, κλαπεὶς ἐκ συντυχίας τὸ
σχῆμα τῆς πενίας. Οὕτως οὐδὲ τὰ λυπηρὰ τοῖς ἀνθρώποις μόνιμα, οὐδὲ τὰ
περιχαρῆ συμβραδύνει καὶ βέβηκεν· ἀλλὰ πάντα πανταχοῦ τὸ σχῆμα παρά-
γεται. Κῦρος Κροῖσον καθελὼν τῆς ἀρχῆς ἐγύμνωσε· Τόμυρις Κῦρον νικήσασα καθεῖλεν· οὐδ' ἑκατέρῳ[1] ἔμεινε τῆς βασιλείας τὸ σχῆμα.

Σχῆμα κόσμου τὸ κάλλος τῶν πόλεων ἄθρησον καὶ μαθήσῃ πῶς παρῆλθε
καὶ παράγει. Μέχρι τοῦ νῦν βασιλικὴ τῶν Ἀσσυρίων μητρόπολις γέγονεν ἡ
καλουμένη Βαβυλὼν, ὀκτακοσίους καὶ πεντήκοντα σλαδίους ἐν κύκλῳ περιβα-
λοῦσα, εἶτ' ἐπὶ πεντήκοντα πήχεις τοῦ περιβόλου τὸ πλάτος εὐρύνασα, καὶ
διακοσίους καὶ πεντήκοντα τὸ ὕψος ἐπάρασα, ἄμαχός τις οὖσα καὶ ἀνάλωτος,
δεύτερον ὑπὸ Περσῶν ἐρημωθεῖσα τοῦ σχήματος ἀπώλεσε πᾶσαν τὴν εὐπρέ-
πειαν, καὶ τέλος ἐρημωθεῖσα οὐδ' ἴχνος τῆς παλαιᾶς εὐδαιμονίας σώζει. Περί-
βλεπτον ἔθνος ὤφθη ποτὲ τὸ τῆς Μακεδονίας, πάσῃ μὲν ὁμοῦ γῇ, πάσῃ δὲ
θαλάσσῃ φοβερὸν ἐπαρτῆσαν τῆς δυνασλείας τὸ κράτος· ἀλλὰ νῦν τῇ Ῥωμαϊκῇ
ῥάβδῳ δαμαζόμενον τῶν ἐπιτατλομένων τὸν λόγον εἰσπράτλεται, τὸ πάλαι τῆς
εὐκλείας ἀποβλὸν[2] σχῆμα. Περιτλὸν ἂν εἴη λέγειν πόσαι τοπαρχίαι καπνοῦ
δίκην ἀπέπλησαν ἢ πόσαι βασιλίδες γυναῖκες ἀπώλοντο ἢ πόσων ἀνδρῶν
ἐπιφανῶν συναπέβη κλέος.

Fol. 87. r°. Οὕτως εἴ τις θέλει τὸ πᾶν ἐπελθεῖν τῷ λόγῳ, εὑρήσει τὸ σχῆμα τοῦ
κόσμου παραγόμενον ὑπὸ τοῦ χρόνου καὶ μεῖναι μὴ δυνάμενον. Αὐτὴν ἄθρησον
τῇ διανοίᾳ τὴν ζωὴν καὶ ταύτην εὑρήσεις παραγομένην[3] ἐνδίκως· οὐ τὸ βρέφος
ἐν ἀκακίᾳ πρώην ἀναγόμενον, τήμερον ἐν ἡλικίᾳ πρεσβύτου γενόμενον δαπα-
νᾶται, κατὰ βραχὺ τῇ Φροντίδι τηκόμενον; οὐ ῥώμην τις ἔχων ἀνθηρὰν ἐν νεό-
τητι <καὶ> δορυφόρων ἄρχοντος ἀξίαν ἐπιφανῆ, γαῦρος ἦν ἐν τῷ βίῳ καὶ τῇ
ζωῇ βεβριθὼς, καὶ τήμερον ἐν κλίνῃ κείμενος ἀπηγόρευται[4]; Αὐτὸν, εἰ βούλει,
τὸν χρόνον φιλοσόφει, καὶ εὑρήσεις οὐ παγίως ἑσλῶτα, ἀλλὰ ῥεύματος δίκην
ὀξέως παραγόμενον. Οὐκ ἔαρ ἦν πρὸ πολλοῦ ποικιλίᾳ τῆς καλλονῆς τῶν ἀν-
θῶν γραφόμενον, ὀσμῇ[5] τῆς εὐωδίας λαμπρὸν καὶ ἐπιφανὲς, ψυχαγωγίαν ἔχον
ἐπιχαρῆ καὶ τερπνήν; οὐ πᾶσα βλάσλη τῶν καλύκων προκύπλουσα τὴν θέαν
ἄλεκτον τῆς ἡδονῆς εἰργάζετο; οὐ καθαρὰ τῶν πηγῶν τροχάζοντα[6] νάματα
διειδεσλάτους[7] ποταμῶν ἐξέβαλλε ῥύακας; οὐ πλωτῆρσιν ἦν πρὸς ὑπηρεσίαν

[1] ἑκάτερον. — [2] ἀποβαλοῦσα. — [3] παραγωμένην. — [4] ἀπειγόρευται pr. manus in ἀπηγ inut. sec. — [5] ὀσμὴν. — [6] τροχάζων τὰ. — [7] διιδεσλάτους.

χαριεσ|άτη Θάλασσα; οὐ γηπόνους ἤπειρος ὡς μήτηρ αὐλακίζειν τὴν βῶλον
προὐτρέπετο; οὐ ποιμένες ἀρνίων φωνῇ περιψαλλόμενοι ἐν ταῖς πορείαις
ἐγανύοντο[1] τερπόμενοι; οὐ μουσικῶν ὀρνίθων μελῳδίαι πολύχορδοι τὸν ἀέρα[2]
κεράσασαι θυμηδίαν ἄλεκτον καὶ ἀκόρεσ|ον; οὐ πᾶσα κτίσις ὥσπερ σ|έφανον
ἑαυτῇ περιθεῖσα τὸ ἔαρ ἐκκρίτῳ κόσμῳ καὶ λαμπρῷ κατεκαλλωπίσατο, καὶ
Fol. 87, v°. ὅσον οὐδέπω τοῦ Θέρους ἀκμάζοντος, τὸ χάριεν παρῆλθε σχῆμα τοῦ ἔαρος[3];
Ἄνθη πρὸς ὀλίγον τὴν χάριν ἀστράψαντα, εἶτα μαραινόμενα, πόα δὲ πᾶσα
ξηραινομένη τῷ καύσωνι, δόνακες δὲ ληΐων τῇ Θέρμῃ καμπ|όμενοι τῆς οἰκείας
φύσεως τὸ γῆρας ἐμήνυον, κρουνοὶ δὲ καὶ ποταμοὶ τῷ φλογμῷ μαχόμενοι,
νικᾶν οὐ δυνάμενοι, ὑπεχώρουν εἰς τοὔλατ|ον, ὄρνιθες δὲ μελῳδοὶ δίχα τετ|ίγων
μετρίως ἐταύλιζον, ἐκ μέσου δ' αἰθέρος ἡ πυρκαϊὰ ζέουσα πᾶσαν ὑπώπ|α τῶν
φυτῶν τὴν μετάλωσιν, αὐχμηρὰ διεδέξατο τὰ πάντα μεταβολή, κρατ|ὴρ φλο-
γώδης προὔκειτο παντὶ χερσαίῳ ζῴῳ, λιβάδες ὠσ|ράκοῦντο καὶ πίδακες τὴν
τῶν πετρῶν φύσιν ὑπεκρίνοντο μὴ δυνάμεναι τοῦ πυρὸς ὑποσ|ῆναι τὸν καύ-
σωνα· ὅλον παρῆλθε τοῦ ἐαρινοῦ κόσμου <τὸ σχῆμα> καὶ διεδέξατο Θέρος
σ|εγανὸν καὶ πυρρὸν τὴν τῶν πραγμάτων φύσιν. Θέα καὶ τοῦτο τὸ σχῆμα μὴ
μόνιμον, ἀλλ' ὀξὺ καὶ τρόπον ἐνυπνίου δραπετεῦσαν· ἐκ μέσου ἄφθη τὸ Θέρος,
ἄφθησαν γηπόνων πρὸς ἄμητον ἄρουραι, ἄφθη πεπανὰ τῶν πρέμνων ἀκρό-
δρυα καὶ φυτοκόμων ἐν ἀμπέλοις πεκάζοντες βότρυες· καὶ ὁ μὲν τῇ δρεπάνῃ
τὸ λῄϊον ἔκειρε καὶ χαίρων ἀπὸ τῆς καλάμης τὸν ἄσ|αχυν ἐλάμβανε, δικασ|ὴν
πόνων τῶν οἰκείων δοκιμάζων τὸ Θέρος, ὁ δὲ μῆλον ἐρυθρὸν δρεπόμενος ἐτρύφα
καὶ δι' ὀσμῆς[4] τὸν καρπὸν ψηλαφῶν ἡδύνετο, καθάπερ ἐν προοιμίῳ μετοπώρου
τερπόμενος. Καὶ πᾶς μὲν ἄμητος ἐφ' ἅλωνος χαρίεις καὶ πυρῶν καὶ κριθῶν τὸ
Fol. 88, r°. πλῆθος τοῖς ἀροῦσι τρόφιμον, καὶ πολὺς μὲν ἦν τῶν συναγόντων τὸ Θέρος ὁ
κάματος, φρυκτωρίαι δὲ ζέουσαι τῶν σωμάτων καθήπ|ουτο· καὶ ὁ μὲν δρεπάνῳ
τὸ δράγμα συνέπ|υσσεν[5], ὁ δὲ τῇ λικμητρίδι[6] τὴν θημωνιὰν ἀνέβαλλεν[7],
ἕτερος τῶν ἀχύρων ἐξῆρε τὴν κουφότητα, ἄλλος σινίοις τὸν σῖτον ἐκάθαιρεν,
ἕτερος μασίπῳ[8] τοῦτον ἀνελάμβανεν· ὡς μέλισσαι κηρίον, τὸ Θέρος ἐμερί-
ζοντο. Καὶ τί μετὰ ταῦτα; τὸ πρᾶγμά μοι σκόπησον. Ἐλώφησεν ἄμητος καὶ τὸ
σχῆμα τοῦ Θέρους ῥαγδαίως παρέδραμεν· ὤφθη δ' ὁ καιρὸς τῆς ὀπώρας ἐν
ἀκμῇ καὶ θῆλαι βοτρύων ἐβάρουν τὴν ἄμπελον καὶ αἱ τῶν ὑπωροφυλάκων ἐγέ-
λων σκηναὶ καὶ τὴν αὐχμηρὰν τῶν ἀμήτων ὥραν καὶ πολύμοχ|ον χλιδὴ διεδέ-
χετο καὶ πάντες τῶν ἡμερίδων τὴν σ|αφυλὴν ἔτεμνον, καὶ ἦν ψυχαγωγία[9] τὸ
κάλλισ|ον θέλγημα τῶν γινομένων, ὑπηνίκα μετέωροι μὲν ἀνα|δενδράδες ὡς

[1] ἐγαννύοντο. — [2] Excidit verbum. — [3] ἄέρος. — [4] τῆς ὀσμῆς. — [5] συνέπλυσεν. — [6] λικμητρίδι. — [7] θημονιὰν ἀνέβαλεν. — [8] μασπήπῳ. — [9] ψυχαγωγίας.

αἴσθησιν ἔχουσαι τὸν καρπὸν ἐπέκρινον, ἄλλαι δ' εἰς τοὔδαφος ὥσπερ ἐγκυμονοῦσαι ἡπλωμέναι κατέκειντο, τῆς οἰκείας φύσεως τοὺς τόκους προβάλλουσαι τεθραμμένους ἐν ἀκμῇ καὶ πολλῇ πεπανότητι, οὓς τρυγητῆρες μαιούμενοι ληνοῖς κατεβάλλοντο ἐπὶ τῷ σπαργανῶσαι καὶ πίθων ἐπιμελείαις[1] αὐστηρὸν <οἶνον> ἀπεργάσασθαι· περιχαρὲς ἦν τὸ πᾶν, τρυφηλὸν τὸ πρατόμενον. Εἶτα μετ' ἐκεῖνα, ἵνα συντέμω τὸν λόγον, ἐπέδραμεν ὁ χειμών, ἐν ᾧ νῦν τὴν τοσαύτην
Fol. 88, v°. λεπτότητα τῶν λόγων γυμνάζομεν, ἐν ᾧ τοσοῦτον ῥημάτων ἁπλοῦμεν σήμονα, πολύχρωμον ζητημάτων κρόκην[2] καθυφαίνοντες, κρυμοῖς[3] ἀπλήστοις ψυχώσας τὸν ἀέρα καὶ πνεύμασιν αὐστηροῖς πεδήσας τὴν ἤπειρον, ὑπωρόφιον συγκλείσας τὴν χειροήθη φύσιν, ἀποκλείσας πᾶσαν θέρμην τῶν οὐρανίων πόλων, σκυθρωπὸν καὶ λίαν ἀπόστυγνον τὸν περίγειον ἡμῖν τόπον ἀπειργάσατο καὶ φυλακίτας ἡμᾶς τοὺς πρώην ἐν αἰθερίῳ τρυφῶντας πεποίηκε· νιφάδες οὖν τὸ πᾶν σχῆμα καὶ τὸ χθὲς ἀμαυρώσασαι πάσης αἰσθήσεως τὸ τερπνὸν ἀπέκλεψαν, ὡς ἐκ τούτου φανερὸν εἶναι τὸ λεγόμενον τὸ περὶ τοῦ Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου.

Ποῦ γάρ, εἰπέ μοι, τὸ ἔαρ ἢ τὸ θέρος αὖθις; ἢ πάλιν τὸ μετόπωρον; <ἆρ' οὐ καὶ ὁ χειμὼν> οὑτοσὶ λήξει καὶ παρελεύσεται; Ποῦ πνευμάτων αὖραι διαπαντὸς ἐκράτησαν; ποῦ τῶν ἀξιωμάτων αἱ δυνάστειαι παρέμειναν; ποῦ γαλήνη διηνεκῶς ἐκράτησε θάλασσαν; ποῦ τὸν κόσμον ὁ αὐτὸς πόλος ἐνεκολπώσατο; τί τῶν γενομένων οὐκ ἔχει τὴν ἀλλοίωσιν; ποῖα δὲ φύσις κτιστὴ ἀρνεῖται μετάβασιν; τί δ' οὐ φιλεῖ τῶν δημιουργημάτων καθ' ἡμέραν ἀλλάττεσθαι; Ἐθέλεις δ' αὐτὸς μὴ παρέρχεσθαι τὸν κόσμον ὥσπερ τὸ ἀγέννητον; εἰ τοῦτο βούλει, δὸς αὐτῷ τοῦ ἀνάρχου τὸν λόγον, ἔπαρον αὐτῷ τοῦ ἀϊδίου αὐτοῦ τὸν νοῦν, μὴ δὸς αὐτῷ τὴν νεότητα, καὶ γῆρας οὐ λήψεται καὶ τὸ τέλος ἀρνήσεται· τὸ γὰρ μὴ γένεσιν ἔχον ἐνδίκως ἀγήρατον, τὸ μὴ ἀρξάμενον εὐλόγως ἀτέλεστον, τὸ
Fol. 89, r°. ἀγέννητον εἰκότως ἀναλλοίωτον.

Εἰ γοῦν καὶ τὸ σχῆμα τοῦ κόσμου δικαιοῖς μὴ παρέρχεσθαι, κρῖνον ἀναλλοίωτον αὐτὸ[4] καὶ ἀΐδιον· τούτῳ δὲ τῷ λόγῳ, οὐδ' οὐρανὸς γεννητὸς, οὐδὲ γῆ, οὐ θάλασσα, οὐ λογικὸν, οὐκ ἄλογον ζῷον, οὐδὲ πετεινὸν, ἀλλ' ἀΐδια πάντα καὶ τὴν τῆς γενέσεως οὐσίαν ἀρνήσεται. Ἀλλ' οὐδεὶς ἀνθρώπων μεστὸν ἀφροσύνης οὕτω δόγμα καταδέξεται, οὐδ' αὐτὰ τῶν Σκυθῶν καὶ βαρβάρων τὰ γένη· ἀλλὰ τὸ μὲν γεννητὸν ἐρεῖ, τὸ δ' ἀγέννητον, καὶ τὸ μὲν παρερχόμενον, τὸ δὲ μένον ἐν ταὐτῷ. Παῦλος οὖν εἰδὼς ὡς τὸ πᾶν σχῆμα τοῦ κόσμου παρελεύσεται δικαίως ἔλεγεν· « Οἱ ἔχοντες ὡς μὴ ἔχοντες ἔστωσαν καὶ φρονείτωσαν[5]. » Οὐ

[1] ἐπιμελίαις. — [2] κρόκαην. — [3] κρημοῖς. — [4] αὐτῷ. — [5] ἦτωσαν καὶ φρονήτωσαν.

βέβαιον γὰρ τὸ κτῆμα τῷ ἔχοντι παρερχόμενον τροπαῖς, καιροῖς, ὥραις, μετα βολαῖς· « Μηδ' ὁ χαίρων χαιρέτω· » ἐφ' ᾧ γὰρ χαίρει, ῥᾷον μεταβάλλεται. Οὐδὲ γὰρ ἡμέρα δι' ὅλου πολλὴ καὶ ἀτέλεσ7ος, ἵν' ὡς ἔχοντες αὐτὴν ἀεὶ λαμπρὰν χαίρωμεν, ἀλλ' ἐπιφοιτᾷ καὶ πάλιν ἀποφοιτᾷ, καὶ πῇ μὲν εὔδιος ὁρᾶται καὶ πάλιν χειμάδιος, ὡς τὸ σχῆμα ταύτης ἄγεσθαι καὶ παράγεσθαι· οὐδὲ νὺξ μεγάλη τις ὑπάρχει καὶ ἀπλήρωτος, ἵνα βαθὺ[1] ἐν αὐτῇ τὸ σκότος δεχόμενοι μακροὺς αἰῶνας ἀποκαθευδήσωμεν, ἀλλὰ σκιά τις πῇ μὲν δεκάωρος, πῇ δὲ δωδεκάωρος, οὐ σ7άσιμον ἔχουσα τὸ σχῆμα καὶ ἀκίνητον. Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τοῦ Παράγει τὸ σχῆμα τοῦ κόσμου.

[1] βαθὺν.

CAPUT XII.

Solutio de dicto : Nos, qui vivimus, rapiemur in nubibus. (I Thessal. IV, 16.)

Ἐντεῦθεν δὲ ἴδωμεν τίς ἡ νεφέλη καὶ τίνες οἱ ἁρπαζόμενοι ἐν τῇ νεφέλῃ εἰς
Fol. 89, v°. ἀπάντησιν εἰς ἀέρα, καὶ πάντοτε μετὰ τοῦ Κυρίου ἐσόμενοι, μὴ προφανῶς ὡς
τὰ ἄλογα τὴν λέξιν μηρυκώμενοι[1], ἀλλ' ὡς λογικοὶ, λογικὴν σιτούμενοι τρά-
πεζαν, τὸν ἀποστολικὸν νοῦν λεπτῶς ἐρευνήσωμεν· μυστικὰ γὰρ ἡμῖν ὧδε φι-
λοσοφεῖ κεφάλαια. Τὴν γὰρ παρομαρτήσασαν φθορὰν τῇ ἀνθρωπείᾳ φύσει ἐξ
αὐτεξουσίου γνώμης καὶ προαιρέσεως ἐξαφανισθῆναι λέγει ἐν τῇ δευτέρᾳ τοῦ
Χριστοῦ παρουσίᾳ καὶ ὥσπερ ἐκ μεγάλων τῶν ὧδε πραγμάτων ἐξαρπαγῆναι
πηλῶν καὶ τῆς ὑγητῆς τοὺς εὐσεβεῖς ἀναστασθῆναι ζωῆς. Ὥσπερ γὰρ ἡ τῶν
ὑδάτων φύσις ἁλμυρά τις οὖσα καὶ πικρὰ καὶ βαρυτάτη[2] κάτω που ταῖς θα-
λάσσαις καὶ ταῖς λίμναις ὑπόκειται[3], ἐν νεφέλαις δ' ἁρπαζομένη εἰς ἀέρα τρο-
χάζει, οὕτω τὴν ἀνθρωπείαν ἐν τῇ πικρότητι τοῦ βίου κατακειμένην φύσιν
κἀν τῇ θαλάττῃ τοῦ θανάτου βεβλημένην που κάτω ἀγγελικῇ δυνάμει ῥαγδαίως
ἀναστάσει, ἣν ἀλληγορικῶς ὀνομάζει νεφέλην διὰ τὴν πραγματείαν. Ἐπειδὴ
γὰρ πῇ μὲν ὑψηλὸν καὶ μετέωρον τὸ τῆς νεφέλης εἶδος, πῇ δὲ χθαμαλὸν καὶ
κοινωνίαν πρὸς τὴν γῆν ἀσπαζόμενον καὶ μέχρι τῶν μυχῶν ἔσθ' ὅτε καταβαί-
νον, ὁμοίως ἡ τῶν Ἀγγέλων οὐσία καὶ ταχυτὴς διακονοῦσα τῇ δόξῃ τοῦ κτί-
σαντος, πῇ μὲν κάτεισιν εἰς τὴν γῆν ὑπηρετοῦσα τῷ Θεῷ, πῇ δ' ἄνεισι τῆς
λειτουργίας τὸν λόγον πληρώσασα· τούτου χάριν νεφέλαις ἀπείκασε τὴν ἀγ-
γελικὴν φύσιν διὰ τὴν ὁμοίαν τῆς πραγματείας ἐνέργειαν.

Οὕτω τὸν Ἀββακοὺμ ἁρπάσας ἐκ μέσου τῆς Ἰουδαίας, ὡς ἀπὸ λίμνης ὕδωρ
Fol. 90, r°. ἁρπάζει νεφέλη, βαστάσας ἔθηκεν ἐπάνω τοῦ Βαβυλωνίου λάκκου[a]· ἱστορεῖται
[1] Cf. Dan. XIV, 34-36. γοῦν <ὁ Ἰακὼβ[b]> ὅτι ἀγγέλους ἀναβαίνοντας καὶ καταβαίνοντας[4] ἐκ τοῦ οὐρανοῦ
[b] Cf. Gen. XXVIII, 12. <εἶδεν>. Ὅθεν συνήθως αἱ θεῖαι καὶ προφητικαὶ δέλτοι τοὺς Ἀγγέλους νεφέλας
[c] Cf. Isai. XV, 6. ἀναφανδὸν καλοῦσι· πῇ μὲν « [c]Ἐντελοῦμαι ταῖς νεφέλαις τοῦ μὴ βρέχειν εἰς τὸν
ἀμπελῶνα· » εἰ γὰρ ἀμπελὼν οὐχ ἕτερός ἐστιν ἀλληγορικῶς τοῦ λαοῦ, εἰκότως
[d] Cf. Dan. VII, 13. Ἄγγελοι ἂν εἶεν αἱ νεφέλαι ὁπλασίας ὑετὸν τῷ λαῷ χορηγοῦντες· πῇ δὲ « [d]Ἰδοὺ
καὶ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, » τουτέστι
μετὰ τῶν Ἀγγέλων. Ἵνα δὲ γνῶμεν ὅτι Δανιὴλ[5] ἀλληγορικῶς τοὺς Ἀγγέλους

[1] μαρυκώμενοι hic et alias. — [2] βαρύτατος. — [3] ἀποκεῖται. — [4] καὶ καταβαίνοντας in marg. — [5] Δανιὴλ add. sec. manus in marg.

Matth. xxv, ἐκάλεσε, μεθ' ὧν ὁ υἱὸς τοῦ ἀνθρώπου ἤρχετο, λέγει ὁ Εὐαγγελισλὴς· « [a]Ὅταν
ἔλθῃ ὁ υἱὸς[1] τοῦ ἀνθρώπου, καὶ πάντες οἱ Ἄγγελοι μετ' αὐτοῦ. » Ἑρμηνεύει
γὰρ τίνες εἰσὶν αἱ νεφέλαι παρὰ τῷ Δανιὴλ, μεθ' ὧν ὁ υἱὸς τοῦ ἀνθρώπου[2]
βέβηκε, λέγων Ἀγγέλους ἐν τῷ « Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ πάντες
οἱ Ἄγγελοι μετ' αὐτοῦ· » καὶ αὖθις ἀλλαχοῦ νεφέλην ὀνομάζει τὴν Ἀγγελικὴν
Psalm. xcvi, 3. τάξιν ἐν τῷ « [b]Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ καὶ πῦρ ἐναντίον[3] αὐτοῦ προ-
πορεύσεται· » κἀκεῖ γὰρ ἐν τῷ δευτέρῳ τῆς <τοῦ> Χρισλοῦ παρουσίας κριτη-
ρίῳ[4] νεφέλην κύκλῳ δορυφοροῦσαν τὸ Θεῖον δικασλήριον τὴν Ἀγγελικὴν τάξιν
ὑπεσήμανε, καὶ γνόφον τὴν ἀθέατον καὶ δυσερμήνευτον τῆς ἐνανθρωπήσεως
οἰκονομίαν ἐδήλωσε, πῦρ δὲ φλογίζον τὴν ἐξασλράπλουσαν ἐκ τῆς νεφέλης
τιμωρίαν ἠνίξατο, Θρόνον δὲ τῆς μακροθυμίας τὴν καθέδραν σοι λέγει καὶ
κρῖμα τὸ αὐσληρὸν τοῦ Νόμου παρεμφαίνει, δικαιοσύνην δὲ τὴν εὐαγγελικὴν
Fol. 90, v°. ὑπέδειξε δωρεάν, ἵν' ὅπερ ὁ Νόμος κατεπόνει τῷ κρίματι, τοῦθ' ἡ δωρεὰ τοῦ
[c]Psalm. ciii, Εὐαγγελίου δικαιώσῃ τῇ χάριτι. Καὶ ἀλλαχοῦ· « [c]Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν
αὐτοῦ[5]· » καὶ σλύλος ὅδε[6] νεφέλης ἠγεῖτο τοῦ λαοῦ τὴν ἡμέραν <ἦ> ἐξενάγει τὸν
λαόν. Ἵνα δὲ γνῶμεν ὡς περὶ Ἀγγέλων ὁ λόγος τῆς νεφέλης ἧς φησιν ὁ Ἀπό-
[d] Cf. Marc. III, 26, 27; Matth. xxv, 31. σλολος, ἐκ τοῦ Εὐαγγελίου σαφηνίσω τὸ κείμενον, ἔνθα φησίν· « [d]Ὅταν ἔλθῃ
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, ἐξαποσλελεῖ τοὺς Ἀγγέλους αὐτοῦ εἰς
τὰς τέσσαρας γωνίας τοῦ κόσμου καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἀπ'
ἄκρου τῆς γῆς ἕως ἄκρου αὐτῆς. » Ὁρᾷς τοὺς δικαίους συναγομένους καὶ τρόπον
τινὰ ὑπὸ νεφέλης ἁρπαζομένους εἰς ἀπάντησιν τοῦ Κυρίου.

Ὅτι δὲ ὁ Ἀπόσλολος ὡς ἐπὶ τὸ πλεῖσλον εἴωθε παραπλησιάζειν τὰς φύσεις
τῶν πραγμάτων, αὐτόθεν σοι τοῦτο ποιῶ δῆλον καὶ ἀναφανδόν· περὶ γνώσεως
γὰρ ἐθέλων εἰπεῖν καὶ ἀγνωσίας τὴν μὲν γνῶσιν ἡμέρᾳ, τὴν δ' ἀγνωσίαν ἀπεί-
[e] Rom. XIII, 12, 13. κασε τῇ νυκτὶ λέγων· « [e]Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ὡς ἐν ἡμέρᾳ
[f] I Thessal. v, 5. εὐσχημόνως περιπατήσωμεν· » καὶ αὖθις, « [f]Ὑμεῖς δὲ πάντες[7] υἱοὶ φωτὸς καὶ
υἱοὶ ἡμέρας ἐσλέ· » καὶ οὐ πάντως αἰσθητὸν φῶς οὐδ' αἰσθητὴν ἡμέραν ταῦτα
λέγων ἐμήνυεν, ἀλλὰ φῶς νοητὸν ὄντως καὶ μακάριον, ἡμέραν δὲ μυσλικὴν
ἀφθαρσίαν ἐκλάμπουσαν[8]. Οὕτως οὖν κἀνταυθοῖ καθολικοῦ τὴν οἰκουμένην
τέλους καταλαβόντος καὶ ῥυείσης ὑδάτων δίκην τῆς ἀνθρωπότητος, χρεία σάλ-
Fol. 91, r°. πιγγος καὶ βροντῆς καὶ νοητῆς νεφέλης ἐπὶ τῷ πλοηθῆναι μὲν τῇ σαλπιγγι
τὸν κόσμον, τιναχθῆναι δὲ τῇ βροντῇ καὶ σαλευθῆναι τὸν ᾅδην, συναχθῆναι

[1] ὁ υἱὸς] add. sec. manus in marg. — [2] ἀνθρώπου] add. sec manus in marg. — [3] ἐνώπιον. — [4] κρητηρίῳ. — [5] Codex in ext. marg. αὐτοῦ τοῦ οὐρανοῦ | πισλοὶ οὗ (corr. in ὧν) | ἐπιβέβη | κε ταῖς νεφέ | λαις τὸ σλερέωμα a recenti manu. — [6] δὲ. — [7] ὑμεῖς δὲ πάντες add. sec. manus in marg. — [8] ἐλάμπουσαν.

δὲ[1] τῇ μυστικῇ νεφέλῃ τοὺς ἐκχυθέντας[2] ὡς ὕδωρ κἀκ τοῦ τῆς γῆς διαρρυέντας ἀγγείου ἀπ' ἄκρου γῆς ἕως ἄκρου εἰς ἀπάντησιν τοῦ Χριστοῦ, τουτέστιν ἐπὶ τοῦ Φοβεροῦ καὶ δικαίου βήματος, ἐν ᾧ βήματι τοὺς ὑπὸ τῆς νεφέλης ἁρπαγέντας ἐν τάχει ἐκ δεξιῶν στήσει καὶ ἐξ εὐωνύμων ὁ βασιλεύς. Σαλπίσει γὰρ οὐ κερατίνῃ σάλπιγγι οὐδὲ χαλκῷ καλάμῳ ἀλλ' ἀγγελικῇ φωνῇ, καὶ πάντας ἀναστήσει τὴν φθορὰν ἀποθεμένους καὶ κούφους αὐτοὺς καὶ μεταρσίους ἐργασάμενος. Ὡς γὰρ Ἠλίας ἐν ἵπποις εἰς οὐρανοὺς ἡρπάγη Ἀγγέλοις οὖσι τὴν φύσιν τοῦ πράγματος, ἵπποις δὲ τὴν ἱστορίαν πυρίνοις ὑπάρχουσι καὶ πυρὸς ἅρματι δηλοῦσι τὸ ταχύ, οὕτω καὶ νῦν ἐν νεφέλῃ ἀγγελικὸν ἐχούσῃ τὸν λόγον τῆς οὐσίας, νεφέλῃ δὲ τὸ πρόσρημα διὰ τὴν πραγματείαν.

Ἐπειδὴ δ' ἔφης ἕκαστον τῶν γενομένων καταλληλῳ χαίρειν μονητηρίῳ καὶ τόπῳ καὶ μὴ δύνασθαι ξένην δίαιταν ἀσμενίσαι, γνῶθι ὡς ἕκαστα τῶν πραγμάτων, γεννητὸν[3] ἐχόντων τῆς οὐσίας τὸν λόγον, ἐν ἀλλήλοις, οὐκ ἐν ἑαυτοῖς μένοντα διασώζεται· οἷον ἐν τῷ ξηρῷ τὸ ὑγρὸν, ὡς ἐν ὀστράκῳ τὸ ὕδωρ, ἐν τῷ ψυχρῷ τὸ θερμὸν, ὡς ἐν ἀέρι τὸ πῦρ καὶ αὖθις ἐξ ἀναστροφῆς, ἐν τῷ ὑγρῷ τὸ ξηρὸν, ὡς ἐν ἀβύσσῳ ἡ γῆ[4], ἐν τῷ θερμῷ τὸ ψυχρὸν, ὡς ἐν ἀστραπῇ τῆς χαλάζης τὸ ὕδωρ. Ἕτερον γὰρ ἐν ἑτέρῳ τὴν μονὴν ἀσπάζεται, ὁμόστοιχον
Fol. 91, v°. δ' ἐν ὁμοστοίχῳ σῶμα μένειν ἀδύνατον· οὐδὲ γὰρ ἐν πυρί τις κατέλαβεν ἄλλο πῦρ, οὐδ' ἐν ὕδατι φύσιν ἑτέραν εὗρεν ὕδατος, ἀλλ' ἐν ὕδατι μὲν γῆν εὑρίσκουσιν ἄνθρωποι, ἐν γῇ δὲ φλέβας κρυπτομένας ὑδάτων ἀνέπτυξαν· ἐν γοῦν τῷ ὑγρῷ φιλικῶς ἐνδιαιτᾶται τὸ ξηρὸν κἀν τῷ ξηρῷ τὸ ὑγρὸν ἐμφωλεύει[5] συνήθως· οὕτως ἐν τῷ ψυχρῷ πυρὸς σπινθῆρες πολλάκις εὑρίσκονται ἐγκρυπτόμενοι[6] κἀν πυρὶ ψυχρότης λεληθότως ἀπέμεινεν· οὕτω καὶ τὸ βαρὺ τῷ κούφῳ φίλιον καὶ συνέστιον, ὡς ψυχὴ τῷ σώματι, καὶ τὸ κοῦφον τῷ βαρεῖ θέλει ἐπαναπαύεσθαι. Πᾶσα γὰρ φύσις πραγμάτων οὐκ ἀφ' ἑαυτῆς ἀλλ' ἀφ'[7] ἑτέρου λόγου λαμβάνει τὴν σύστασιν· οἷον τοῦ δικαίου μὴ ὄντος, ὁ τοῦ ἀδίκου λόγος οὐχ ὑφέστηκεν· ὁμοίως τοῦ εὐσεβοῦς μὴ φανέντος, οὐδὲ τὸν ἀσεβῆ τις εὑρίσκει δοκιμάσαι· οὐδὲ τὸ βαρὺ δίχα τοῦ κούφου, οὐδὲ τὸ θερμὸν ἄνευ τοῦ ψυχροῦ· κἄν τις ἐθέλῃ τὸ πᾶν διϊππεῦσαι τῷ λόγῳ, ἕκαστα τῶν ὄντων ἑτέρων κατηγορούμενα εὑρήσειεν.

Οὐ ξένον γοῦν εἰ νεφέλαι τοὺς ἀνθρώπους τῆς γῆς ἀποσπάσουσι φθορᾶς ἀπαλλαγέντας καὶ τοῦ τῆς κακίας ἀπολυθέντας πηλοῦ· ὃν γὰρ ἔχουσι λόγον νεφέλαι πρὸς ὕδατα, τοῦτον ἔχουσι τὸν λόγον οἱ Ἄγγελοι πρὸς τοὺς ἀνθρώπους. Εἴ γε οὖν ὕδωρ οὐ κάμνουσι νεφέλαι βαστάζουσαι, πολλῷ μᾶλλον Ἄγ-

[1] δὲ add. sec. manus. — [2] ἐκχεθέντας. — [3] γενητὸν. — [4] τὴν γῆν. — [5] ἐμφολεύει. — [6] ἐγκρυπτόμεναι. — [7] ἐφ'.

γελοι τὴν τῶν ἀνθρώπων Φύσιν μεταφέροντες. Ὅτι δὲ τοὺς ἀνθρώπους[1] ὁ Θεῖος
Cf. Isai. xvii, 3. λόγος παρείκασεν ὕδασιν, ἔξεσ|ί σοι μαθεῖν, λέγοντος τοῦ Προφήτου· « [a]Ἰδοὺ
Cf. Isai. xvii, 1. ὡς ὕδωρ ἔθνη πολλά· » καὶ « [b]Πλῆθος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει. » Εἰ
γοῦν ὕδατα τυγχάνουσιν ἄνθρωποι, χρεία νεφέλης νοητῆς, ἥτις ὡς ὕδωρ κου-
Fol. 92a, r°. φίσει τὴν γεηρὰν οὐσίαν· μηδέ σε ταρατ|έτω τὸ ῥῆμα Παύλου λέγοντος, 5
« Ἡμεῖς ἁρπαγησόμεθα, » ὡς δοκεῖν ψεύδεσθαι, ἅτε τῆς ἀνασ|άσεως μὴ γενο-
μένης[2] ἐν ταῖς ἡμέραις αὐτοῦ. Φίλον γὰρ αὐτῷ ἐσ|ι τὸ συγκατατάτ|ειν ἑαυτὸν
τῷ λόγῳ τῆς οὐσίας καὶ μὴ φεύγειν τὸ συγγενές· πάντας γὰρ ἐν ἑαυτῷ τυγ-
χάνειν, καθὸ ἄνθρωπος, εὐλόγως ἐδοκίμαζε καὶ ἐν πᾶσιν αὐτὸς ὑπάρχειν φιλα-
λήθως ἔκρινε καὶ τοῖς χρόνοις προὐλάμβανεν ἢ πάλιν ἐβράδυνεν· οὕτω γάρ 10
τις φιλέταιρος ποιεῖ καὶ ποιεῖ τῶν ὁμοσ|οίχων ἀγαπῶν τὴν συγγένειαν.

[1] Verba εἰ γε οὖν ὕδωρ — τοὺς ἀνθρώπους in textu omissa in marg. add. pr. manus. — [2] γινομένης.

CAPUT XIII.

Solutio de dicto : Prædicabitur hoc Evangelium in universo orbe.
(Matth. xxiv, 14.)

Ὅθεν ἱκανῶς σοι τούτου λεχθέντος τοῦ κεφαλαίου, τὸ περὶ τοῦ Εὐαγγελίου[1] σοι ῥητὸν λέξωμεν ἐν συντόμῳ εἰρημένον ὧδε· « Καὶ κηρυχθήσεται τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ καὶ τότε ἥξει τὸ τέλος. » Πολλαχοῦ μὲν οὖν ἐκλαβεῖν ἔνι τοῦ τέλους τὸν λόγον· πολέμου ἐστὶ τέλος τῆς εἰρήνης ὁ λόγος, ἀμαθίας τέλος τῆς γνώσεως ὑπάρχει τὸ μάθημα, ἀσεβείας[2] τέλος τῆς εὐσεβείας τὸ σέλας γνωρίζεται, τυραννίδος τέλος οἱ τῆς ἐλευθερίας ὁπλάνονται πίνακες, τέλος κακίας τὸ τῆς ἀρετῆς ὑπάρχει κατόρθωμα, τέλος ἀκολασίας ἡ τῆς σωφροσύνης ἀστράπτουσα λαμπηδών, τέλος σκευωρίας καὶ πανουργίας καὶ δόλου τὸ ἁπλαστον τοῦ ἤθους καὶ τὸ ἀκακούργητον, τέλος ἀφροσύνης καὶ κώμου καὶ βακχείας τὸ εἰλικρινὲς καὶ νῆφον καὶ σταθηρὸν φρόνημα. Εἴ γε οὖν τοῦ Εὐαγγελίου τρανῶς κηρυττομένου, ταῦτα τέλος ἔλαβε καὶ πᾶσα τοῦ κόσμου ἡ τετρὰς ἐπὶ τὴν τῆς εὐσεβείας μετέστη πανήγυριν, τὴν
Fol. 92, v°. παλαιὰν τῆς πολιτείας ἀρνησαμένη πλάνην, εἰ[3] τὸ πρώην τῶν ἀνθρώπων ἀκολασταῖνον γένος τήμερον τῆς σωφροσύνης οἰκεῖ τὴν ἀκρόπολιν καὶ τὸ κάλλος τῆς ἁγνείας ὡς μαργαρίτην φιλεῖ, εἰ ναοὺς ξοάνων τινὲς πρώην θεραπεύοντες νῦν ἐξεσμένοι ναοὶ τοῦ ἁγίου Πνεύματος ὤφθησαν ἀξιοφανεῖς, εἰ οἳ πάλαι δίψαν αἱμάτων ἀκόρεστον ἔχοντες κατὰ τῶν ὁμογενῶν τὸ ξίφος ἐχάλκευον σφαγῇ δαπανῶντες καὶ φθόνῳ δαπανώμενοι, νῦν εἰρήνης ἄλυτον καὶ φιλίας δεσμὸν ἔχουσιν ἀδιάσπαστον, εἰ οἳ ποτε τὴν ἀμαθίαν ὡς ὁμίχλης εἶχον πεπαχυμμένον ζόφον[4], τήμερον ἡλίου φανότερον τὸ τῆς σοφίας πυρσεύουσι μάθημα, εἰ τὸν κόσμον ἀπάνθρωπος τύραννος ἐβασάνιζε καὶ νῦν βασιλικὴ σαίνει τοῦτον φιλανθρωπία, εἰ κακία τὴν λογικὴν ἐπολιόρκει φύσιν, ἀρετὴ δὲ[5] φρουρεῖ ταύτην σκεπάζουσα[5], εἰ πανουργία καὶ δόλος τὸν λογισμὸν ἠχρείουν[6], ἦθος δ' ἐλεύθερον ζωπυρεῖ τὸ φρόνημα, πῶς τῶν[7] πάλαι κακῶς[8] καὶ νῦν καλῶς ἐχόντων πραγμάτων τῇ ἀφηγήσει, οὐ δῆλόν ἐστι καὶ πιθανὸν καὶ σαφὲς τέλος εἰληφέναι τῆς τετραγωδημένης πολιτείας τὸν κόσμον ;

[1] εὐαγγελί pr. manus, ου add. sec. — [2] τέ cod. sed linea transversa damnatum. — [3] ἡ. — [4] καὶ delevi. — [5] σεπάζουσα pr. manus, κ add. sec. super σ. — [6] ἠχρείου. — [7] In textu τῇ, in marg. τῶν pr. manus. — [8] κακῶν.

Εἰ δὲ καθολικὸν τέλος ζητεῖς καὶ σωματικὸν καὶ κατὰ τὸ ῥητόν σοι φίλον λαβεῖν τὴν ἀπόκρισιν, βραχὺ καρτέρησον καὶ γνώσῃ τὸ ζητούμενον, ὡς οὐ βραδύνει τὸ τέλος, ἀλλ' ἐπὶ θύραις ἐστὶ καὶ τὸ Εὐαγγέλιον ἔτι πολλοῖς ἀνθρώπων οὐκ ἀνέγνωσται· ἐπὰ οὖν ἔθνη τῶν Ἰνδῶν μεταξὺ τῆς μεσημβρίας καὶ τῆς ἀνατολῆς τὴν ἔρημον λαχόντα, ἃ τῶν Εὐαγγελιστῶν οὐδὲν[1] οὐδέπω τὸν λόγον ἀκήκοεν, ἀλλ' οὐδ' Αἰθίοπες οἱ καλούμενοι Μακρόβιοι, μέσοι[2] τῆς ἑσπέρας καὶ τῆς μεσημβρίας, πρὸς αὐτῷ μένοντες ὠκεανίῳ στόματι μήτ' ἀδικεῖν, μήτ' ἀδικεῖσθαί τινα νομοθετοῦντες, γάλα πίνοντες καὶ κρέα σιτούμενοι, περί τε ἑκατόν που διαζῶντες ἔτη καὶ πεντήκοντα, μὴ νοσηλευόμενοι μέχρι τέλους μηδ' ἀρρωστοῦντές ποτε, Εὐαγγελίου λόγον οὔπω μεμαθήκασι. Τί σοι τοὺς ἑσπερίους ἢ Μαυρουσίους λέγω ἢ τοὺς πέραν Ἴστρου τοῦ βορεινοῦ ποταμοῦ, ὃς ἐκ τριάκοντα πέντε ποταμῶν αὐξόμενος ἄπειρος, ῥεῖ[3] τῷ θέρει καὶ τῷ χειμῶνι πολὺς καὶ ἀπέρατος, ὃς μυρίων ὁλκάδων ὑπάρχων ναυσίπορος πᾶσαν ἀποκλείει τῶν Σκυθῶν τὴν χώραν, ἐν ᾗ κατοικεῖ νομάδων βαρβάρων ἔθνη δώδεκα, πολὺ θηρίων ἀγρίων ὄντα χαλεπώτερα (Ἡρόδοτος δέ σοι τούτων λέξει καὶ τὰ ὀνόματα καὶ τὰ τούτων ἔθη διδάξει καὶ νόμιμα), εἰς ἃ τῶν Εὐαγγελίων ὁ λόγος οὐκ ἀπῆλθε, προγονικοῖς δ' ἔτι κακοῖς ἀποκέχρηνται, διαίτῃ φρικώδει κεχρημένα καὶ φοβερᾷ; Εἰς μαρτύριον δὲ πᾶσι δεῖ κηρυχθῆναι τὸ θεῖον Εὐαγγέλιον, εἶθ' οὕτω τὸ τέλος λαβεῖν τὴν σωματικὴν ζωήν.

Ὅταν γὰρ ὁ εὐαγγελικὸς τῆς ἀφθαρσίας λόγος πᾶν ἔθνος μαρτύρηται <καὶ> περὶ τῆς ἀκηράτου[4] μετὰ θάνατον ζωῆς καταλάβῃ πειθήνιον, τηνικαῦτα τῆς μὲν τῶν ἐθνῶν ζημίας ὁ λόγος ἀναίτιος, ἅτε προειπὼν καὶ προμαρτυράμενος, αὐτὰ δ' ἑαυτοῖς αὐθαιρέτῳ κακίᾳ κίνδυνον ἀσπασάμενα, δικαιώσει λαβεῖν τῆς ἀπωλείας τὸν ὄλεθρον. Διὸ τοὺς χρόνους ἡ πηγὴ τῶν χρόνων διὰ τὴν σκληρότητα μηκύνει τῶν ἀνθρώπων καὶ τὴν προθεσμίαν σώζει καὶ πολλὴν τῆς προθεσμίας ποιεῖται[5] τὴν βραδυτῆτα· σοφῶς γὰρ, ὡς οὐκ ἴσμεν, ὁ δεσπότης τῶν αἰώνων στρέφων τὸν ἄξονα τῶν χρόνων καὶ κυλίων βραδυτῆτα καιρῶν πολλὴν ἀπεργάζεται καὶ τὴν ὡρισμένην κλέπλει ποσότητα. Εἰ γὰρ Φιλοσόφων παῖδες ἐν τῷ πηλῷ τοῦ σώματος τοσοῦτον νοῦν ἐκτήσαντο, ὡς τὸ τρίγωνον ποιῆσαι τετράγωνον καὶ τὸ τετράγωνον τρίγωνον καὶ τῶν ἀμφοτέρων σώζειν τὸν λόγον τοῦ σχήματος καὶ μήτε τὸ εἶδος τοῦ τριγώνου λυμήνασθαι εἰς τὸ τετράγωνον τοῦτο σχῆμα μεταίροντες, μήτε τοῦ τετραγώνου τὴν φύσιν ὑποφθείρειν[6] εἰς τρίγωνον αὖθις μεταβιβάζοντες, ἀλλ' ἑκάτερον πρᾶγμα λόγῳ τινὶ σοφίας μυστικῶς μεταβαλλουσι, μηδ' ὁποτέρου τὸν λόγον φθείροντες ἢ συγχέοντες, οὐ μέγα

Fol. 93, r°.

Fol. 93, v°.

[1] οὐδείς. — [2] μέση. — [3] ρεῖ add. pr. manus in marg. — [4] ἀκράτου pr. manus, η add. sec. — [5] ποιῆται. — [6] ὑποφθείροντες.

εἰ τῆς σοφίας ὁ πατὴρ σύντομον ὁρίσας ἐν προθεσμίᾳ τὸ τέλος τοῦτο βραδὺ ἢ[1] μακρὸν συμφέροντος[2] ἕνεκεν τοῖς ἀνθρώποις ποιήσει, μηδὲ τοῦ χρόνου τι μειώσας τὸ σύνολον, μηδὲ μεταθεὶς τὸν ὅρον τοῦ πράγματος, οὕτως ἔτη τὴν ἡμέραν ἐργάζεται χίλια καὶ τὴν ἡμέραν οὐ πολλὰς ἀλλ' ἔχειν μίαν ἡμέραν. Οὐ γὰρ ἐν τοῖς χιλίοις ἔτεσι τὴν ἡμέραν ἐτόρευσεν, ἀλλ' ἐν τῇ ἡμέρᾳ τῶν χιλίων ἐτῶν τὸ πλῆθος ἐμήκυνεν, οὐδ' ὁποτέρου λυπήσας πράγματος τὴν πρόθεσιν· οὐ γὰρ τὴν ἡμέραν ὥσπερ ἐκτείνων εἰς ἔτη διέσπασε χίλια, ἀλλὰ σώαν ἐφύλαξε καὶ τοῖς ἰδιώμασιν ἄρτιον καὶ ὁλόκληρον, οὐδ' αὖ τὰ[3] χίλια πάλιν ἔτη
Fol. 94, r°. καὶ διαστήματα εἰς ἡμέραν μίαν[4] συγκόψας ἠμάλδυνεν, ἀλλ' ἀμφοτέρων τῆς φύσεως τὸν λόγον ἑνώσας. Οὐκ ὀφείλομεν οὖν ἀποδυσπετεῖν, εἰ[5] ταχινὸν ὁρίσας τὸ τέλος, ἐπιβραδύνει· καὶ γὰρ τὴν προθεσμίαν τοῦ τέλους οὐ παρέρχεται, καὶ τὸ σθενὸν καὶ ταχὺ ἀφράστῳ συνέσει μηκύνων οὐ σφάλλεταί τι· καὶ[6] γὰρ ἡμῶν ἕνεκεν καὶ διαδοχῆς ἀλλοιοῖ καιροὺς καὶ τρέπει χρόνους καὶ συντέμνει τὴν ζωὴν, ἂν[7] τοῖς ζῶσι λυσιτελὲς, καὶ πάλιν εὑρύνει, χρήσιμον ἂν ᾖ[8] καὶ καλόν· καὶ αὐτὸς οὖν ταῦτ' ἔχειν οὕτως συνομολογῶν τὴν ἐπομένην ταύτῃ βασάνιζε ζήτησιν, ἱκανὴν περὶ τοῦ τέλους ἔχων τὴν ἀπόκρισιν.

[1] καὶ compend. — [2] συμφερόντως. — [3] αὐτὰ. — [4] μίαν a pr. manu omissum add. sec. manus. — [5] εἰς. — [6] εἰς. — [7] ἐν. — [8] τῆς.

CAPUT XIV.

Solutio de supplicio Petri et Pauli.

Λοιπὸν τὴν ὑπόθεσιν Πέτρου καὶ Παύλου καὶ τῶν ὁμογνωμόνων αὐτοῖς ἐπισκεπτέον πῶς εἰπὼν Πέτρῳ «[a]Βόσκε τὰ ἀρνία μου,» καὶ Παύλῳ «[b]Λάλει, μὴ σιώπα, ὅτι μετὰ σοῦ εἰμι καὶ οὐδεὶς κακώσει σε,» ἀμφοτέρους διάφορον τιμωρίαν δέξασθαι συνεχώρησεν. Ὃν μὲν γὰρ σταυρούμενον, ὃν δ' ἀποτεμνόμενον ὁρῶν ἐκαρτέρησε καὶ μάλα πρεπόντως· οὐ πρὸ τῶν ἀγώνων οὐδὲ τῶν τῆς διδασκαλίας παιδευμάτων καὶ πράξεων, ἀλλὰ μετὰ τοὺς ἱδρῶτας, οὓς ὑπέμειναν εὐσεβῶς διδάσκοντες, γῆν, θάλασσαν πολλῆς ταραχῆς ἐκπραΰνοντες, νήσους ἐν βυθῷ πλάνης κεκλιμένας ἐγείροντες, τὰ ὑπ' οὐρανὸν Φωτὸς ἀκηράτου γεμίζοντες, ψυχὰς ἐσπιλωμένας ἐν πονηρίᾳ καθαίροντες, Φρόνημα τετρωμένον καὶ μικροῦ δεῖν ἐσβεσμένον νουθεσίαις ἐξάπλοντες, τῆς παρακοῆς τὰ βέλη συντρίβοντες καὶ τῶν ἁμαρτημάτων τὰ ξίφη συγκόπλοντες, τῶν καταπονουμένων γενναίως[1] προϊσταμένοι καὶ τῶν ἀδικουμένων ὑπέρμαχοι δυνατώτατοι, τῶν ἀπολωλότων ζητητῆρες[2] ἄρισται, καὶ τῶν καταπιπτόντων ἔρεισμα καὶ βοήθημα, πολλὰ θαυμασίων ἔργων τῷ κόσμῳ μηνύσαντες σταυρῷ καὶ τιμήσει τὸν βίον ἐζημιώσαντο.

[a] Ioh. xxi, 15. [b] Cf. Act. xviii, 9, 10.

Fol. 94, v°.

Τοιοῦτον δ' αὐτοῖς τοῦ βίου τὸ τέλος ἀπήντησεν ἐπὶ τῷ μείζονα τῆς εὐκλείας τὸν ἔπαινον ἄρασθαι. Ὡς γὰρ τῶν στρατιωτῶν <οἱ> ἄρισται καὶ ἀήττητοι ὑπὸ τοῦ βασιλέως τότε μᾶλλον γεραίρονται, ὅταν ὑπὲρ πατρίδος καὶ γένους μαχόμενοι μέχρι θανάτου τῶν οἰκείων[3] πόθῳ προκινδυνεύσωσι, ἄρτι γοῦν διὰ τῶν κορυφαίων τούτων ἡ τῶν ἀντιπάλων δαιμόνων ἐληλαμένη[4] φάλαγξ ζῆν ἐν ἡσυχίᾳ τῶν πιστῶν συνεχώρει τὰ πλήθη, καὶ πεπαυμένου τοῦ θορύβου τῶν λαοπλάνων ἐχθρῶν, λοιπὸν ἐπ' ἀδείας ἦν ἡ[5] πρόοδος τῆς ζωῆς, στερεμνίου τοῦ τῆς εὐσεβείας περιβόλου τυγχάνοντος καὶ τῆς πίστεως τῆς μάνδρας οὔσης ὠχυρωμένης. Τί γοῦν οἱ γεννάδαι ἐντεῦθεν μετὰ τὴν τοσαύτην ἐπίδειξιν ἱστοροῦνται ποιοῦντες; ἀειθαλῆ μαρτυρίου συμπλέκουσι στέφανον, ἀμάραντον ὁμολογίας ποιοῦσι διάδημα, στρατολογήσαντες ἀνὰ τὴν οἰκουμένην τῷ Χριστῷ τοὺς πιστεύοντας, ἔγνωσαν ὑποδεῖξαι τούτοις, ποίοις ἀγῶσιν ὁ τῆς πίστεως

[1] γενναίως in marg. add. sec. manus. — [2] ζητῆρες pr. manus, τι supra η add. sec. — [3] τῷ οἰκείῳ pr. man a sec. in τῶν οἰκείων mutat. — [4] ἐληλαμένη in marg. add. sec. manus. — [5] ἡ add. sec. manus.

συγκεκρότηται σλέφανος, ἵνα μὴ πισλεύειν ἀλλὰ καὶ πάσχειν αὐτοὺς δι' εὐσέβειαν πείσωσι. Τὸ γὰρ λόγῳ πισλεύειν οὐ πάνυ καματηρὸν[1], τὸ δὲ πόνῳ τὴν πίσλιν ἐγείρειν ἐπίδοξον, καὶ λόγος μὲν λεχθεὶς οὐκ ἀληθεύει πολλάκις, ἔργον δὲ πισλωσάμενον τὴν φύσιν τοῦ πράγματος παρεσκεύασε σεμνῶς ἀληθεῦσαι
Fol. 95, r°. τὸν λόγον· τούτου χάριν βιαίῳ θανάτῳ τὴν ζωὴν σφραγίζονται, ζῆλον μὲν τοῖς ὁρῶσι πισλῶς καταλιπόντες, βραβεῖον δὲ πολλοῦ κτώμενοι κατορθώματος· ὃ γὰρ ὑπέμενον πάσχοντες ἑκουσίως, τοῦτο τοῖς μαθηταῖς εἴασαν ἐξιτήριον, τύποι[2] ἀνδρείας ἀμάχου γενόμενοι. Ἵνα γοῦν μετὰ πολλὰ τῶν καλῶν ἀγωνισμάτων ὑσλάτῳ καμάτῳ σλεφανῖται[3] ἀπέλθωσι, συνεχωρήθησαν εἰσελθεῖν εἰς τὸ μέγα τῶν πόνων καὶ ἐπίσημον θέατρον, καὶ ὁ μὲν τομὴν κεφαλῆς, ὁ δὲ σλαυρὸν ὑπελθεῖν, δι' ὧν ἡ τοῦ δράκοντος σπεῖρα συνεκόπη· ὁ μὲν γὰρ[4] τῆς κεφαλῆς τμηθεὶς αἵματι καὶ γάλακτι τὸν ὄφιν εἰς λιχνείαν ὥσπερ ἐδελέασεν, ὁ δὲ τῷ σταυρῷ τοῦτον εὐτόνως συνέκοψε.

Καὶ πρὸ μὲν τῆς διδαχῆς καὶ τοῦ κηρύγματος αὐτοὺς τοῦ μὴ παθεῖν ἐσκέπαζεν ὁ Χρισλὸς, μυριάκις τὸν Πέτρον καὶ τὸν Παῦλον ἐνέδρας ῥυσάμενος Ἰουδαϊκῆς· ὅτε δὲ τῶν ἐθνῶν ἐπὶ τὴν γνῶσιν τοῦ κηρύγματος τὸ πλῆθος μετέσλησαν, ὅτε τῆς πίσλεως λοιπὸν ἐρρίζωσαν τὰ σπέρματα, ὅτε τὴν ὀρεινὴν καὶ τὴν ὑπερόριον ἔπεισαν τῆς οὐρανίου πολιτείας ἀντέχεσθαι, τότε ἐπὶ τὴν ἀοίδιμον[5] ἔπεμψεν αὐτοὺς τοῦ μαρτυρίου δόξαν. Καὶ μάλα τοῦτο σεμνῶς αὐτοῖς ἐστρατήγηται διὰ τὸν πολὺν τότε τῶν ἀθεΐαίων θρύλλον· πολλοὶ γὰρ ἦσαν οἱ τότε διαψιθυρίζοντες καὶ τοῖς ὀδοῦσι τὴν γλῶτλαν τῇ βασκανίᾳ μασώμενοι, φάσκοντες· « αἱ πράξεις Πέτρου καὶ Παύλου δύνανται καὶ γοητείᾳ πεπράχθαι καί τινι λόγῳ γεγενῆσθαι πρὸς αὐτῶν τὰ ἐξαίσια. » Τὸ μέντοι τέλος αὐτῶν, εἰ
Fol. 95, v°. κοινὸν ὤφθη καὶ τοῖς λοιποῖς ὅμοιον, οὐδέν τι μέγα παρ' αὐτοῖς οὐδὲ πολὺ θαῦμα, ἀλλ' εἴγε παρηλλαγμένος καὶ ξένος τούτων ὁ θάνατος, καὶ οὗτος οὐχ ὅμοιος τοῖς νικῶσιν ἐκ γοητείας τὴν κόλασιν, ἀλλὰ καρτερικὸς καὶ πικραῖς ἐναπομένων βασάνοις, ἐπεὶ πολλοί τινες ἤδη προσαχθέντες ἐπὶ τῷ βήματι ἐπὶ τῷ τιμωρίαν λαβεῖν ἐξ ἀποφάσεως ἐξαίφνης ἄδηλοι καὶ ἀφανεῖς ἐγένοντο καὶ φανερὸν τοῦτ' ἐφάνη γοητείας τὸ δρᾶμα. Ὅθεν οὐκ ἐχρῆν τοὺς οὐρανίου βασιλείας γενομένους κήρυκας τοιοῦτό τι ποιῆσαι, παθεῖν δ' ἀληθῶς καὶ κρείττους φανῆναι τῶν βασάνων καὶ διὰ τούτων δεῖξαι ὡς οὐ κάμνουσι πάσχοντες, ἀδαμάντινον ἔχοντες λογισμὸν καὶ ἀήττητον, καὶ δίκην πυρὸς τῷ φασγάνῳ[6] κρουόμενοι μένουσιν ἀνίκητοι.

[1] καματηλόν. — [2] τύπον. — [3] σλεφανίτες. In marg. στεφθέντες sec. manus. — [4] γὰρ in marg. add. sec. manus. — [5] ἀοίδημον. — [6] φασφασγάνῳ.

Διὰ τοιαύτας[1] αἰτίας καὶ λόγων φλυαρίας συγκεχώρηται τοὺς ἁγίους ἐν κόσμῳ τιμωρεῖσθαι, ἐπεὶ πολὺς ὁ ψόγος ὁ παρὰ τῶν φαύλων τοῖς ὁσίοις γιγνόμενος· κἂν γὰρ ἐν τιμωρίαις σκεπασθῶσιν οἱ δίκαιοι, παρὰ τῶν ἀδίκων ψέγονται λεγόντων· « Εἰ συνεχωρήθησαν ἐν πόνοις ἀποθανεῖν, οὐκ ἂν ἐκαρτέρησαν, ἀλλὰ τάχος ἠρνήσαντο. » Κἂν πάλιν ὑπομονῇ πολλῇ μαχησάμενοι τὰς βασάνους νικήσωσιν, ὡσαύτως ὑπὸ τῶν εὐχερῶν ψιθυρίζονται φασκόντων· « Εἰ ἦσαν εὐσεβεῖς, οὐκ ἂν οὗτοι κρινόμενοι ὑπὸ τῆς παντεφόρου προνοίας περιῴφθησαν. » Διὸ πάνυ καλῶς φιλῶν τοὺς ἀξίους ὁ Θεὸς καὶ ἀγαπῶν, τοὺς μὲν ἐξαιρεῖται παθῶν, τοῖς δ' ἐπιτρέπει πάσχειν, ἑκάτερον τὸν θρύλλον τῶν ἀτόπων ἐλέγχων. [a]Ἰδοὺ γὰρ Δανιὴλ καὶ οἱ σὺν αὐτῷ πῦρ ἐνίκησαν καὶ λεόντων ἐκράτησαν, ἵν' οἱ Βαβυλώνιοι γνῶσιν ὡς ἐκείνου δοῦλοι <εἰσὶ> τοῦ ποιήσαντος τὸ πῦρ καὶ τὰ θηρία κτίσαντος· ἐπεὶ γὰρ οἱ Βαβυλώνιοι τὸ πῦρ ἐξεθείαζον, τούτου δ' οἱ παῖδες ἤλεγξαν τὴν καυτικὴν[2] δύναμιν, ἐνδίκως οἱ τοῦ Θεοῦ τῶν Ἀσσυρίων κρείττους μεγάλου Θεοῦ θεράποντες ὤφθησαν. Ἵνα δὲ μὴ πάλιν οἱ τῷ Θεῷ προσκείμενοι δι' ὅλου τὰς τῶν βασάνων ἑτοιμασίας φυγόντες ὡς ἄνανδροι φανῶσι τὰ πάθη δειλιῶντες, τούτου χάριν γενναίως φέρειν τοὺς θεραπευτὰς τῆς εὐσεβείας ὁ Χριστὸς παρεσκεύασε τῶν ἀλγηδόνων τὸν κάματον, ἵνα κἀν τούτῳ δείξῃ ὅτι καὶ πάσχοντες καὶ μὴ πάσχοντες ὁμοίαν τὴν γνώμην τῷ δεσπότῃ φυλάττουσιν. Ἰδοὺ γοῦν Πέτρος καὶ Παῦλος ἐν τοῖς φοβεροῖς τῶν πόνων καρτεροῦντες ἐπὶ βασάνων τὸν εἰς τὸν Σωτῆρα πόθον ἐπισώσαντο, ἵνα μὴ κἀν τούτῳ χώραν βλακείας καὶ φλυαρίας εὕρωσιν οἱ τῆς εὐσεβείας εἰκότως πολέμιοι φάσκοντες, ὡς μετὰ κολακείας ὁ Χριστὸς τοὺς μαθητὰς ἐτήσατο, εἰ δὲ τοῖς δεινοῖς αὐτοὺς ἐκδότους πεποιήκει, τὴν πρὸς αὐτὸν ἂν[3] ἠρνήσαντο σχέσιν. Καὶ περὶ μὲν τοῦ συγχωρῆσαι Πέτρον καὶ Παῦλον παθεῖν ταῦτά ἐστιν εἰκότως τὰ αἴτια.

Fol. 96, r°.

[a] Cf. Dan.

[1] διαύτας pr. manus; in διὰ τοιαύτας mut. sec. — [2] καυσλικὴν. — [3] ἂν post πεποιήκει in codice.

CAPUT XV.

Solutio de dicto : Videte, multi enim venient, dicentes : Ego sum Christus. (Matth. xxiv, 5.)

Ἐκεῖνο δέ σοι τὸ κεφάλαιον ἐξῆς τοῦ Χριστοῦ σαφηνίσωμεν τὸ λεγόμενον περὶ τοῦ Ἀντιχρίστου· φησὶ δέ· « Βλέπετε μή τις ὑμᾶς πλανήσῃ, πολλοὶ γὰρ
Fol. 96, v°. ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου. » Ἦν[1] δέ σοι τοὺς χρονογραφουμένους[2] τόπους τε καὶ λόγους παράσχω, ἀναμφιβόλως[3] γνώσῃ τοῦ Χριστοῦ τὴν πρόγνωσιν, ὡς πολλοὶ τῷ ὀνόματι τοῦ Σωτῆρος ἀποχρησάμενοι διὰ τοῦ φαινομένου σχήματος πολλοὺς ἐδελέασαν καὶ τέλος εἰς τὴν σφῶν αὐτῶν ἀπώλειαν ἤνεγκαν. Αὐτίκα γοῦν ὁ Μανῆς[4] ἐν Περσίδι τὸ ὄνομα τοῦ Χριστοῦ ὑποκρινάμενος πολλὴν μὲν σατραπείαν, πολλὴν δὲ τῆς ἀνατολῆς χώραν τῇ πλάνῃ διέφθειρε καὶ μέχρι τήμερον φθείρει λυμαντικοῖς ὑφέρπων τὴν οἰκουμένην σπέρμασιν. Ἄλλος ἐν Φρυγίᾳ Μοντανὸς οὕτω λεγόμενος ὀνόματι τοῦ Κυρίου ἀσκητικὸν ὑποδὺς καὶ πεπλασμένον σχῆμα, δαίμονος ὀλεθρίου φανεὶς οἰκητήριον, τῇ πλάνῃ τὴν Μυσῶν μέχρι τῆς Ἀσιανῶν ἐπενείματο[5] πᾶσαν· καὶ τοσοῦτον ἴσχυσεν ὁ φωλεύων ἐν αὐτῷ δαίμων καὶ κρυπτόμενος, ὡς τὴν οἰκουμένην μικροῦ βάψαι τῷ τῆς πλάνης φαρμάκῳ. Τί σοι περὶ Κηρίνθου καὶ Σίμωνος[6] ἢ Μαρκίωνος ἐρῶ ἢ Βαρδησάνου ἢ Δροσερίου ἢ Δοσιθέου τοῦ Κίλικος ἢ μυρίων ἄλλων ὧν ὀκνῶ λέγειν τὸ πλῆθος, ὡς πάντες οὗτοι καὶ τούτων οἱ ζηλωταὶ τοῦ Χριστιανισμοῦ τὴν ὀνομασίαν σφετερισάμενοι, ἄφατον ἐν κόσμῳ τὴν πλάνην εἰργάσαντο; ἀνήριθμα τῆς αἰχμαλωσίας πεποίηνται λάφυρα. Αὐτίκα γοῦν ὡς Ἀντιχρίστοις ἢ ἀντιθέοις οἱ τούτοις πειθόμενοι οὐκέτι Χριστιανοὶ χρηματίζειν ἐθέλουσιν,
Fol. 97, r°. ἀλλ' ἐπ' ὀνόματι τῶν ἐξάρχων Φιλοῦσιν ὀνομάζεσθαι Μανιχαῖοι καὶ Μοντανῖται καὶ Μαρκιωνισταὶ καὶ Δροσεριανοὶ καὶ Δοσιθεανοί. Ὁρᾷς πολλῶν Ἀντιχρίστων λυμαντικὰ στρατόπεδα κατὰ τοῦ Χριστοῦ καὶ τῶν Χριστιανῶν δεινῶς ἠκονημένα, καὶ λέγεις μηδένα παρεῖναι ὧν προεῖπεν ὁ Σωτήρ; βλέπεις ἀντιθέων ὡπλισμένην[7] παράταξιν, καὶ τὴν πρόγνωσιν τοῦ Σωτῆρος ἀθετεῖς; ἀλλ' οὐ δέον ἀθετεῖν, ἀλλὰ συγκατατίθεσθαι τοῖς λεχθεῖσι παρ' αὐτοῦ. Καὶ ταῦτα μὲν ὧδε.

[1] εἰ. — [2] χρονογραφομένους. — [3] ἀμφιβόλως. — [4] μανεὶς. — [5] ἐπενείμετο. — [6] σίμονος. — [7] ὡπλησμένων.

CAPUT XVI.

Solutio de Judicio in Apocryphis, et de dicto : Complicabitur cœlum sicut liber.

Φέρε δὲ τὴν κεκομψευμένην[1] <ὑπόθεσιν> ἐν τῇ Ἀποκαλύψει τοῦ Πέτρου καταμάθωμεν, τὴν οὕτω περὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὡς κρινομένων κειμένην[2] ἐν τῷ « Ἡ γῆ παρασθήσει πάντας τῷ Θεῷ κρινομένους ἐν ἡμέρᾳ κρίσεως, μέλλουσα καὶ αὐτὴ κρίνεσθαι σὺν καὶ τῷ περιέχοντι οὐρανῷ. » Καὶ ὅτι μὲν οὐδὲν οὐρανοῦ πλημμέλημα οὔτ' ἀδίκημα γῆς, δι' ἃ μέλλουσι κρίνεσθαι, δῆλον· ὅτι δὲ τῶν θείων φωνῶν ἀψευδὴς ἡ ἀφήγησις, καὶ τοῦτο φανερὸν καὶ ἰδικῶς ἀναμφίβολον. Κἂν γὰρ τὴν Ἀποκάλυψιν Πέτρου παραπεμψώμεθα[3], ὑπὸ τῆς προφητικῆς καὶ τῆς εὐαγγελικῆς φωνῆς συνελαυνόμεθα εἰς τὴν Ἀποκάλυψιν τοῦ Πέτρου καὶ ἄκοντες, τοῦ μὲν Προφήτου λέγοντος· « [a]Ἑλιγήσεται ὁ οὐρανὸς ὡς βιβλίον καὶ πάντα τὰ ἄστρα πεσεῖται, ὡς πίπτει φύλλα ἐξ ἀμπέλου καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς, » τοῦ δ' Εὐαγγελίου· « [b]Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. »

[a] Isai. xxxiv, 4.

[b] Matth. xxiv, 35.

Χρὴ γοῦν τῶν λέξεων τὴν προφανῆ δραπετεῦσαι διήγησιν. Εἰ δὲ καὶ τὸ ῥητὸν εἰπεῖν ἐθελήσομεν, οὕτως ἐν κρυφῇ καὶ λεληθότως ἐροῦμεν, πιθανὸν ἐν τῷ σχήματι ποιοῦντες τὸν λόγον. Τί οὖν; τὰς φύσεις τῶν πραγμάτων ἐρευνητέον νῦν καὶ τὸ γενόμενον, εἰ διά τι γέγονεν, ἢ αὐτοῦ χάριν γέγονε· πᾶν γὰρ τὸ πραχθὲν ὑπὸ τῆς δημιουργοῦ σοφίας ἐν τῇ κτίσει, ἢ αὐτοῦ χάριν, ἤ τινος χάριν γέγονεν, οἷον κρῆναι, πηγαί, ποταμοί, χέρσος, ὄρη, θάλασσα, φυτά, πρέμνα, λῃΐα, ἀήρ, αἰθήρ, οὐρανός, ἥλιος, ἄστρα, σελήνη πολύστροφος, ἔνυδρα, πηνά, χερσαῖα, τετράποδα, οὐκ αὐτὸ τοῦτο μόνον ὑπάρξεως ἕνεκα πρὸς τὸ τὴν κτίσιν δι' αὐτῶν λαβεῖν τὸ συμπλήρωμα ἐφάνη[4] γενόμενα, ἀλλὰ <καὶ> διὰ τὸν ἄνθρωπον, ἐπὶ τῷ πᾶσαν ἐξ αὐτῶν λαβεῖν ὑπηρεσίαν καὶ τὴν ἁρμόζουσαν παρ' αὐτῶν λειτουργίαν καρπώσασθαι. Ἄνθρωπος δ' οὐχ ἑτέρου τινὸς ἕνεκεν δημιουργεῖται πράγματος, ἀλλὰ χάριν ἑαυτοῦ λαμβάνει τὴν ὕπαρξιν ἐπὶ τῷ μόνον δοξάζειν τὴν σοφίαν τοῦ κτίσαντος, τὴν λογικὴν αὐτοῦ[5] σοφίαν λεπτῶς ἐργασαμένην, δοξάζειν δὲ συνεχῶς, οὐχ ὡς δωρούμενον ἔπαινον καὶ τιμὴν τῷ ποιήσαντι (τοῦτο γὰρ ἀΐδιον ἔχει τὸ πλεονέκτημα πρὸ

Fol. 97, v°.

[1] κεκοψευμένην. — [2] κειμενήναν, ων comp. superscriptum. — [3] Has lineas contra legitur in marg. a sec. manu ὅρα περὶ τῆς ἀποκαλύψεως πέτρου. — [4] τὰ delevi. — [5] αὐτὸν.

τοῦ καὶ τὸν κόσμον γενέσθαι καὶ τὸν ἄνθρωπον), ἀλλ' ὡς διὰ τοῦ δοξάζειν τοῦ δοξαζομένου τὴν δωρεὰν καρπούμενον[1] καὶ παρ' αὐτοῦ τὸν λόγον τῆς οἰκείας οὐσίας ἰσχυρούμενον[2]. Ὡς γὰρ ὁ βλέπων τὸν ἥλιον καὶ δι' ἐπαίνου Θρυλλῶν τὴν ἀκτῖνα τοῦ φωτὸς οὐδὲν μὲν ἐγκώμιον τῷ ἡλίῳ χαρίζεται (πρὸ γὰρ καὶ
Fol. 98 r°. τούτων τῶν λόγων τῆς οἰκείας λαμπηδόνος ἔχει τὸ καλλώπισμα), βλέπων δ' εἰς αὐτὸν σπᾷ τοῦ φωτὸς τὴν ἀπόλαυσιν, ἑαυτὸν ἐκ τοῦ προσέχειν ἔνδοξον ἀποτελῶν, οὕτως ἄνθρωπος τιμῶν τὸν ποιήσαντα οὐδὲν μὲν τῷ δημιουργῷ προσάγει[3] δώρημα, ἑαυτὸν δ' ἀποθεοῖ κοινωνῶν τῇ Θεότητι· καὶ ὥσπερ ὁ πλησιάζων τῷ πυρὶ Θερμαίνεται οὐκ αὐτὸς διδοὺς τῷ πυρὶ τὴν Θερμότητα, ἀλλὰ παρὰ τοῦ πυρὸς αὐτὸς Θερμαινόμενος, οὕτως ὁ διὰ τῶν[4] γνησίων ἐπαίνων δοξάζων τὸν ἀρωγὸν ἑαυτὸν πληροῖ δόξης καὶ πολλοῦ[5] χαρίσματος. Γενόμενος οὖν ὁ ἄνθρωπος, ὡς ἐρρέθη, δι' οὐδὲν ἕτερον ἢ δι' οἰκείαν εὔκλειαν δοῦλα πρὸς διακονίαν λαμβάνει τὰ κτήματα· κόσμος οὖν ἔκτισται εὐλόγως δι' ἄνθρωπον· ἄνθρωπος δ' οὐχ ἕνεκεν τοῦ κόσμου γεγένηται, ἀλλ' ἕνεκεν ἑαυτοῦ καὶ τῆς οἰκείας τιμῆς.

Ἐπειδὴ γοῦν καθάπερ οἶκος μέγας ὁ κόσμος εἰς οἴκησιν ἀνθρώπου παρεδόθη, ἄνθρωπος δὲ παραλαβὼν τὴν κτίσιν εἰς δίαιταν τῆς οἰκείας ὑπάρξεως λίαν κατερραθύμησε καὶ τῆς εὐγενείας τὸν λόγον οὐκ ἐτήρησεν, ἀφροσύνης τινὰ μέθην εἰσδεξάμενος, καὶ τοῦ χαρισαμένου τὴν χάριν ἐξωρχήσατο, τὸ δῶρον ἀτιμάσας καὶ ψέξας τοῦ κρείττονος καὶ πολλὰ παροινήσας εἰς τὸ Θεῖον ἀθέσμως, τούτου χάριν ὁ κτίσ[τ]ης οὕτως ἰδὼν αὐτὸν παραπαίοντα καὶ λοιπὸν ἀβλεπ[τ]οῦντα καὶ τοῖς καλοῖς προσκρούοντα πρὸς τὸ μὴ τέλεον[6] προσαράτ[τ]ειν <καὶ ἐν> τοῖς Θείοις πτῶμα γενέσθαι καὶ δι' ὅλου φθαρῆναι, ἔγνω διὰ Θανάτου ὥσπερ εἰς ἕτερον ἐξαποστ[τ]εῖλαι χῶρον, ἵνα, λυθέντος αὐτοῦ τῶν περιβόλων
Fol. 98. v°. ἔξω καὶ συναφανισθέντος, ἐκ δευτέρου τοῦτον εἰς ἀφθαρσίαν ἄξῃ[7] καὶ διαγωγήν. Ὅθεν τούτων οὕτως καιρίως κεκριμένων[8] καὶ τοῦ δεσπότου ἐκ τῆς οἰκίας μεθιστ[τ]αμένου, ἀνάγκη καὶ τὸν οἰκόν τι τῶν ἀδουλήτων παθεῖν· ὡς γὰρ τὸν φυλάττ[τ]οντα ἐν ἀμπελῶνι σκηνὴν ἕως τοσούτου μένειν Θέμις καὶ ἀκόλουθον, ἕως ὁ τῶν ἀμπέλων καρπὸς ἐκτρυγηθῇ, μετὰ δὲ ταῦτα τὴν σκηνὴν ἐάσαντα παρελθεῖν, ὡς λυθῆναι μὲν αὐτὴν καὶ τῶν ἀμπέλων ἐκρυῆναι τὰ φύλλα, παρελθεῖν δὲ τὴν περίβλεπ[τ]ον τῶν ἀμπέλων εὐπρέπειαν, οὕτω τὴν ἀνθρωπείαν φύσιν καὶ ὑπόστασιν καθάπερ ἐν σκηνῇ τῷ κόσμῳ καταμείναsαν, τοῦ καρποῦ τῆς εὐσεβείας παντα[τ]χοῦ τρυγηθέντος, ἀνάγκη, τούτου οἰχομένου[9] ἐνθένδε,

[1] καρπούμενος. — [2] ἰσχυρούμενος. — [3] τὸ delevi. — [4] τῶν in marg. add. pr. manus. — [5] Post πολλοῦ, τοῦ delevi. — [6] αὐτὸν delevi. — [7] ἄξει. — [8] κεκρυμμένων in textu; κεκριμένων in marg. pr. manus. — [9] τοῦτον οἰχόμενον.

οὐρανοῦ καὶ γῆς σβεσθῆναι τὸ κάλλος, τῆς λογικῆς τῶν ἀνθρώπων οὐσίας ἀπελθούσης, εἰς τὸν οἰκεῖον τῆς προθεσμίας ὅρον.

Τίνι λοιπὸν ἡ λαμπρότης χρησιμεύσει τοῦ κόσμου; τίνι τῶν ποταμῶν ἐπιτήδεια ῥεύματα; τίνι πλώϊμος θάλασσα καὶ χέρσος ἀρόσιμος; λήϊα δὲ καὶ σπέρματα φυτῶν, ἀκρόδρυα, ἀνθρώπου μὴ[1] παρόντος, εἰς οὐδὲν λογισθήσεται Τίνι δὲ τῶν φωσ|ήρων ὁ οὐρανὸς ἄψει τὰς ἐξαισίας λαμπάδας; οὐ τῆς κορυφῆς τῶν πραγμάτων ἐκ μέσου γενομένης, οἰχήσεται τὸ πᾶν; καὶ συναπελεύσεται τρόπον τινὰ συμπάσχον καὶ συγκατακρινόμενον, συναλλαγῆναι θέλον καὶ συναποσμήξασθαι τῆς κηλῖδος τὸ σύμπαν ὑπώπιον. Ὡς γὰρ ἄνθρωπος πᾶς ἐν καθολικῷ τέλει δαπανώμενος δευτέρας ὑπάρξεως ἐν ἀφθαρσίᾳ λόγον[2] ἀπολήψεται, οὕτω κόσμος ὅλος συγκαταφθαρεὶς αὐτῷ κρεῖττον ἐν δευτέρῳ
Fol. 99, r°. κάλλος ἀναλήψεται συνεκδυσάμενος αὐτῷ τὸ κακοπαθοῦν ἔνδυμα καὶ συνενδυσάμενος αὐτῆς[3] τῆς ἀπαθείας τὸ πέπλον. Εἰ γὰρ σκεῦος ἀργυροῦν τῷ χρόνῳ παλαιωθὲν ἀργυρογνώμων[4] τεχνίτης κλάσας καὶ ἀναλύσας καινουργεῖ διὰ πυρὸς εἰς τὸ κρεῖττον προάγων, οὐ τὴν ὕπαρξιν τοῦ σκεύους[5] ἀπολύων[6] ἀλλ' ἐκ τοῦ σκεύους ἐκβάλλων τὴν ῥυτίδα, κάλλιστον αὖθις καὶ καινὸν[7] ἀπεργάζεται, εἰ γοῦν τις ἐν τῇ πρώτῃ τοῦτο θεασάμενος σ|υγνῇ κατασ|άσει οὐκ ἐρεῖ δικαίως παρεληλυθέναι μὲν ὅλον τὸ σκεῦος καὶ λελύσθαι, μένειν δὲ τοῦ σκεύους τὸν λόγον ἀμείωτον, οὕτως ὅλου τοῦ κόσμου διὰ τὸν ἐγγενόμενον τῆς παρακοῆς ῥύπον εἰς τὴν χώνην τῆς συντελείας ὥσπερ καταντήσαντος, δεύτερον ἀνάγκη καὶ κρεῖττον τῆς οὐσίας τὸν λόγον ἀναλαβεῖν· ὡς ἰδόντα τινὰ τὴν ἐν δευτέρῳ ἐν καλῷ τῆς κτίσεως[8] ὕπαρξιν, σφόδρα θαυμάσαι τὸν λόγον τοῦ Σωτῆρος εἰπόντος, « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι, » τουτέσ|ι τὸ μὲν φαινόμενον σχῆμα τοῦτο παρελεύσεται, ὁ δὲ λόγος τοῦ κτίσαντος ἐν τῷ κτίσματι μένων οὐ μὴ παρελεύσεται, ἀλλ' ὑπάρχων ὁ αὐτὸς ἐπανακαινίσει τὸ πᾶν. Κἂν γὰρ ἐξ ἀμελείας ἡ συνθήκη τοῦ οἴκου διαλυθῇ, ὁ λόγος τοῦ τεχνίτου τῆς τέχνης[9] οὐ[10] λέλυται, ἀλλὰ τὴν πεσοῦσαν αὖθις λαμπρὰν δεμεῖται[11] καὶ βελτίονος ἄξιον τὸ δῶμα ὑπουργησεως[12] ποιήσει, ὡς χάριν τοῦ κρείττονος γεγενῆσθαι τῆς οἰκίας τὴν πῶσιν νομίζεσθαι· τὸν αὐτὸν δὴ
Fol. 99, v°. τρόπον κατὰ τὸ παράδειγμα ἐκ πολλῆς πεπονηκότα τὸν κόσμον ῥαθυμίας καὶ τέλεσν πεσόντα εἰκῇ ἀπολούμενον ὁ δημιουργικὸς[13] λόγος καὶ τεχνίτης ἀκάματος συμπήξας αὖθις λαμπρὸν[14] ἀπεργάσεται. Δεῖ γὰρ πᾶσαν τῶν γενητῶν

[1] μὴ in marg. sec. manus. — [2] λόγων. — [3] τὸ κακοπαθοῦν — αὐτῆς in marg. αὐτῷ pr. manus, αὐτῆς correx. sec. — [4] ἀργυρογνώμης. — [5] σεύους. — [6] ἀπολλύων. — [7] καλὸν. — [8] ἐν καλῷ τὴν ὕπαρξιν pr. manus, in ἐν καλῷ τῆς κτίσεως ὕπαρξιν mut. sec. — [9] Fors. delenda τῆς τέχνης. — [10] οὐ add. sec. manus. — [11] δειμᾶται. — [12] ὑπουργώσεως. — [13] δημιουργὸς. — [14] λαμπρὰν.

φύσιν καὶ ὑπόστασιν δίχα τῶν ἀσωμάτων δευτέραν ἀναλαβεῖν καὶ βελτίω γένεσιν.

Ἰδοὺ γὰρ ἐξ εἰκόνος ὁ προφητικὸς λόγος ἡμῖν ἐφιλοσόφησεν εἰπών· « Ὡς πίπλει φύλλα ἐξ ἀμπέλου καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς· » ὡς γὰρ τῆς εὐπρεπείας ἀμπέλου τε καὶ συκῆς συντέλεια τῶν φύλλων ἡ πλῶσις νομίζεται, ὁ μέντοι τῆς ὑπάρξεως οὐκ ἀπόλλυται λόγος, μένει δ' ἐν τῷ κρείττονι φέρων τὴν μεταλωσιν, οὕτως οὐρανὸς τῶν ἀστέρων πόλων ἐπὶ συντελείᾳ ῥίψας τὴν εὐπρέπειαν, δευτέραν τῆς προλαβούσης καὶ κρείττονα λήψεται. Ὅρα δέ μοι καὶ τὸ μυστικὸν αἴνιγμα καὶ διήγημα[1] ὡς πολλῶν καὶ μυρίων φυλλορροούντων[2] ξύλων, μόνον ἀμπέλου καὶ συκῆς ἐμνημόνευσεν, οὐ μηλέας, οὐκ ὄχνης, ἀλλ' οὐδὲ[3] τῆς ἰτέας, καίπερ τὸ φύλλον ῥιπλούσης πυκνότερον, διὰ τὸ μόνον συκῆν ὁμοίως καὶ ἄμπελον οὐ κατὰ βραχύ, ἀλλ' ἐφάπαξ[4] ἀποβάλλειν τὰ φύλλα· τάχα δὲ διὰ τὸ πλείστης ὑπὸ τῶν γεωργῶν ἐπιμελείας τυγχάνειν ἑκάτερα, ὡς διὰ τούτων αἰνιττομένου τοῦ λόγου, ὅτι τὸν οὐρανὸν πολλῆς ἀξιῶν κηδεμονίας ὁ Θεὸς ἐπὶ τέλους πεισόμενον οὐκ ἂν περιόψεται, ἀλλ' οἷα γεωργὸς πάντοίας ἐπιμελείας καὶ κόσμου ἀναπληρώσει· τάχα δέ πως καὶ διὰ τὴν γενομένην ἐξ αὐτῶν διαβολήν· πῇ μὲν γὰρ ἐκ συκῆς ἄσεμνος τῷ Ἀδὰμ χιτὼν συνερράπτετο,
Fol. 100, r°. πῇ δ' ἐξ ἀμπέλου τῷ Νῶε γύμνωσις ἀπρεπὴς γέγονε καὶ ὀνειδισμός· ἐπειδὴ γοῦν τῶν ἀνθρωπίνων ἕνεκεν πλαισμάτων ἡ πάροδος τῷ κόσμῳ καὶ τῷ οὐ-
Isai. xxxiv. 4. ρανῷ, ἐδόκει[5] δ' ἐξ ἀμπέλου καὶ συκῆς ἀναφαίνεσθαι, εὐλόγως εἶπεν· « [a]Ὡς πίπλει φύλλα ἐξ ἀμπέλου καὶ ὡς πίπλει φύλλα ἀπὸ συκῆς. »

[b] Isai. xxxiv, 4. Οὐ μὴν ἀλλὰ κἀκεῖνο φαίνεται μυστικώτερον τὸ λεχθέν· « [b]Ὁ οὐρανὸς ἐλιγήσεται ὡς βιβλίον. » Μηκέτι γὰρ τῶν μαθητῶν ἀναγινωσκόντων τὸν οὐράνιον πίνακα, μηδ' ὑφεστώτων ἔτι τῶν Φιλοσοφεῖν οἷόν τε τὰς ἀνωτέρω δέλτους, ἀνάγκη τῶν διδασκομένων λοιπὸν σχολαζόντων λυθῆναι τὴν διατριβήν, καὶ τὴν βίβλον εἰληθῆναι τοῦ διδασκάλου χρεὼν κἂν δευτέρῳ καινοπρεπῶς ἀνοιχθῆναι καὶ μυστικῶς, ὅταν ὁ[6] κατ' εἰκόνα τῆς μακαρίας οὐσίας γενόμενος ἄνθρωπος τὴν συμφορὰν ἐκδύσηται, ἵν' εἴπω τὴν παλαίωσιν, ὅταν ἡ ψυχὴ τὸν εἰλικρινῆ τῆς δόξης ἀναλάβῃ στέφανον, ὅταν τῶν ἐπωδύνων πραγμάτων καὶ κακουμένων ἐλευθερίαν λάβῃ. Ἐπεὶ δέ, φησ[7], Χρόνος[8] ὁ οὐρανὸς τοῦ ποιητοῦ, ἡ γῆ δ' ὑποπόδιον, τούτων παρελθόντων, ποῦ μὲν ὁ καθήμενος, ποῦ[9] δ' οἱ λόγοι τοῦ καθημένου λοιπὸν εὑρεθήσονται; Γνῶθι τῶν λεγομένων θεοπρεπῶς τὴν ἔννοιαν καὶ μὴ Χρόνῳ περικλείσῃς μηδ' ὑποποδίῳ τὸν ἀπερινόητον. Οὐ

[1] In marg. ὅρα τὸ μυστικὸν διήγημα καὶ αἴνιγμα, sec. manus. — [2] φυλλοροούντων. — [3] οὔτε. — [4] ὑφάπαξ. — [5] ἐδό- in codice in fine versus. — [6] ὁ add. sec. manus. — [7] φησι. — [8] In marg. comp. σημείωσαι. — Περὶ Χρόνου Θεοῦ a sec. manu. — [9] ποῖ.

γὰρ ἵνα μάθωμεν τὸ Θεῖον καθήμενον, ἔχον ὑπὸ τοὺς πόδας τὴν γῆν ὑποπόδιον, ταύτην ὁ Προφήτης εἰς παίδευσιν ἡμῶν τὴν δέλτον ἐχάραξεν, ἀλλ' ἵνα τῷ νῷ φαντασιωθῶμεν τοῦ κτίσλου τὸ μέγεθος, οὐκ ἐν ποσῷ καὶ ποιῷ τοῦτο
Fol. 100, v°. κερματίζοντες, ἀλλ' ἐν δυνάμει κάλλους ἀφράσλου γνωρίζοντες. Εἰ γὰρ τὸν οὐρανὸν οὐκ ὀφθαλμὸς, οὐ νοῦς ἀνθρώπων κατέλαβεν, ἀλλ' οὐδὲ τῆς γῆς ἀκριβῶς τὸ πέρας τεθέαται, ποταπὸς ἂν εἴη, ὁ τὸν οὐρανὸν καθέδραν καὶ τὴν γῆν ποιῶν ὑποπόδιον; Οὐ πάντως οὖν τῆς καθέδρας οἰχομένης ἐκ μέσου καὶ τοῦ ὑποποδίου ὁμοίως αἰρομένου, παθεῖν ἀνάγκη καὶ τὸν ἐγκαθήμενον, ἐπεὶ καὶ πρὸ τοῦ γενέσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν Θρόνον εἶχε τὸ Θεῖον μυσλικὸν
[a] Psalm. XLIV, καὶ ἀκίνητον, λέγοντος τοῦ Προφήτου· « [a]Ὁ Θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· » καὶ αὖθις, « Ὁ Θρόνος σου, Κύριε, ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ
[b] Psalm. CI, εἶ, » ἀλλὰ καὶ ἕτερος κέκραγε Θεσπέσιός που λόγος φάσκων· « [b]Σὺ, Κύριε, 26, 27.
τὴν[1] γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ �α-
[c] Psalm. CI, πολοῦνται, σὺ δὲ διαμένεις· » καὶ πάλιν, « [c]Σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ 28.
ἐκλείψουσι. » Κἂν γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ πάθῃ τι, κρείττονα χάριν ἔξει· ἀλλ' οὗν ὁ τούτων τεχνίτης πρεσβύτερος ὑπάρχων καὶ τῆς οὐσίας ἔχων τὸν λόγον ἀγένητον[2] οὐ συμπείσεταί τι, φθειρομένου τοῦ γενητοῦ, ἅτε μόνος τῆς ἀϊδιότητος ἔχων τὸ ἀξίωμα. Ὅμως ἐπὶ τῆς ἀλλαγῆς τῶν γενομένων πραγμάτων
[d] Psalm. CI, καὶ φύσεων, τὸν τῆς ἀπωλείας λόγον ὁ Προφήτης ποιεῖται φάσκων· « [d]Πάν- 27.
τες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις[3] αὐτοὺς καὶ ἀλλαγήσονται. » Ὡς γὰρ ἱμάτιον ἔσλιν ὅτε ἐπισλήμη γναφέως[4] διὰ τοῦ πλυντῆρος ἑλίτλουσα[5] καθαίρει καὶ λαμπρὸν ἀλλάτλουσα ποιεῖ καὶ ἐπιφανὲς, οὕτως ἡ πάνσοφος καὶ δημιουργὸς φύσις πολλοῖς αἰῶσι τῷ τῆς κακίας ῥύπῳ παλαιω-
Fol. 101, r°. θεῖσαν τὴν κτίσιν ἀποσμήξει[6] καὶ ὥσπερ[7] νέον καὶ λαμπρὸν ἱμάτιον ποιήσει.

Καὶ κατὰ μὲν τὸ ῥητὸν ταύτην ἐχέτω ὁ λόγος τὴν ἔκδοσιν· ἑτέραν δέ σοι κατ' ἀλληγορίαν διήγησιν ἀφηγήσομαι, ὅπως ἂν ἴδῃς πολύτροπόν τινα καὶ πολυθεώρητον τὴν διδασκαλίαν τῶν Θεσπεσίων λογίων. Οὐρανοῦ γὰρ καὶ γῆς πάροδον μυσλικῶς μὲν ἄκουσον, μυσλικῶς δὲ παιδεύθητι[8] τῆς ἀνθρωπείας ὑπάρξεως τὸν λόγον. Ἐξ οὐρανοῦ γὰρ καὶ γῆς λαχὼν τὴν ὑπόσλασιν λογικὸς καὶ ἄλογος γέγονεν ἄνθρωπος, ψυχὴν ἀπ' οὐρανοῦ καὶ σῶμα λαχὼν ἀπὸ γῆς· καὶ τὸ μὲν λογικὸν ὑπάρχει ἐν ψυχῇ, ὅπερ καὶ Θρόνος τοῦ Θεοῦ Λόγου τυγχάνει, εἴ γε κατὰ λόγον τῆς οἰκείας ἀξίας κοσμεῖ τὴν ὑπόθεσιν, τὸ δ' ἄλογον ἐν σώματι, ὅπερ ἀκολούθως ὑποπόδιόν ἐσλι τοῦ δημιουργοῦ Λόγου τοῦ ἐν

[1] κύριε τὴν in marg. add. pr. manus. — [2] ἀγέννητον. — [3] ἑλλίξει. — [4] γράφεως pr. manus; in γνάφεως mut. sec. — [5] ἑλλίτλουσα. — [6] ἀποσμίξει. — [7] νέον ὥσπερ. — [8] παιδεύθιτι.

ὑσλάτῳ τοῦ χρόνου ὥσπερ ἐν ὑποποδίῳ τὴν ἐνανθρώπησιν λαβεῖν ἀξιώσαντος, λέγοντος τοῦτο τοῦ μυσληρίου τὸ πρᾶγμα ὥσπερ ἐν ἀπορρήτῳ Ἰωάννου τοῦ Βαπλισλοῦ· «[a]Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος·» καὶ ἄλλος τις τῶν ἁγίων τοῦτ' ἰδὼν τὸ ἐξαίσιον, «[b]Προσκυνεῖτε» λέγει «τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός[1] ἐσλιν» οὐ γὰρ τὸ σλοιχεῖον τῆς γῆς προσκυνεῖν ὅδ' ἔλεγεν (ἐπάρατον γὰρ ὅλον), ἀλλὰ τὸ σωτήριον καὶ μονογενὲς σῶμα, τὸ δὴ[2] συμπλακὲν ἀφράσλῳ λόγῳ τῇ θεότητι. Ἐπεὶ γοῦν ἄνθρωπος ὁ οὐρανὸς εὐλόγως καὶ γῆ, θρόνος δ' οὗτος τοῦ κτίσαντος καὶ σεμνῶς ὑποπόδιον, λέγοντος τοῦ Θεοῦ Λόγου, «[c]Ἐνοικήσω ἐν ὑμῖν καὶ ἐμπεριπατήσω,» πολλοῖς δὲ τῆς κακίας κεκλόνηται πάθεσιν, ἀλληνάλλως περισλάσει πραγμάτων δονούμενος, ὡς μηκέτι δύνασθαι οἰκητήριον ἢ θρόνον εἶναι τοῦ ποιήσαντος, τούτου χάριν ἐπέτρεψεν ὅλον ἐν καθολικῇ συντελείᾳ τὸν ἄνθρωπον παρελθεῖν ἐνθένδε τῆς ἐπωδύνου ζωῆς οἰκονομικῶς, καὶ πᾶσαν τὴν ὧδε λαμπρότητα τῆς ἀξίας δίκην ἀσλέρων πεσεῖν καὶ συναφανισθῆναι, ὡς δευτέραν ἐν δευτέρᾳ ζωῇ λαβεῖν τὴν διαγωγὴν καὶ πληρωθῆναι ἄρα[3] τὸ ῥητὸν τὸ, «[d]Ἔσλαι ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή.» Καὶ ταῦτα μὲν ἀποχρώντως.

[a] Marc. I, 7.
[b] Psalm. XCVIII, 5.
[c] Cf. II Cor. VI, 16.
[d] Isai. LXV, 17.

Fol. 101. v°.

[1] ἅγιον. — [2] δὲ. — [3] γὰρ.

CAPUT XVII.

Solutio de fermento, de grano sinapis et de margarita (Matth. XIII, 31, 33, 45, 46). et de dicto : Abscondisti hæc a sapientibus. (Matth. XI, 25.)

Ἐξῆς δέ σοι περὶ τῆς παραβολῆς ἐπισυνάξω τὸν λόγον τοῦ σινάπεως[1] καὶ τῆς ζύμης καὶ τοῦ μαργαρίτου, ὡς λίαν ἁρμοδίως τούτοις παρεικάζει τὴν βασιλείαν τῶν οὐρανῶν· τὰ γὰρ μεγάλα καὶ τὴν ἐξ ἀπόπλου κατάσλασιν ἔχοντα οὐκ ἀπὸ μεγάλων τῶν ὑποθέσεων λαμβάνει σαφήνειαν, ἀλλ' εὐτελῶν καὶ μικρῶν καὶ τῶν νομιζομένων ἐν ἀνθρώποις οὐτιδανῶν. Εἴ γε οὖν ἐθέλεις τῶν φιλοσοφούντων ἐξετάσαι τὴν σπουδὴν καὶ τὴν κακόπαθον ἐκείνην μελέτην καὶ φροντίδα, εὑρήσειας ἀκριβῶς τοῦ νυνὶ λόγου τὴν πᾶσαν ὑπόθεσιν. Πελώριον γὰρ γῆς σεσαγμένης[2] ὄρεσι καὶ βουνοῖς καὶ λόφοις πεφορτωμένην χέρσον τῇ διανοίᾳ καταλαβεῖν βουλόμενοι, οὐχ ὑπερόγκῳ τινὶ καὶ μεγάλῳ σώματι ταύτην ἀπεικάζουσιν, ἀλλὰ σλιγμῇ βραχείᾳ καὶ παντάπασιν ἀβαρεῖ, ὃ οὐδ' εἰς βάθος οὐδ' εἰς πλάτος διασλῆσαι δυνατὸν, καὶ τὴν τοσαύτην καὶ τηλικαύτην γῆν οὕτω παραβάλλουσι καὶ ὅπως ἂν ἀπὸ σλιγμῆς αὐτὴν καταλάβωσι, ταῦτα φιλοσοφοῦσι καὶ διημερεύουσι τούτου χάριν τοῦ πράγματος καὶ πανν[ύ]χιον πόνον μελέτης ἀσπάζονται· κέγχρῳ γὰρ αὐτὴν πρὸς τὴν οὐράνιον σύγκρισιν ἀπεικάζουσιν· εἰσὶ δ' οἱ καὶ τὸν οὐρανὸν, τὸν ἀνθρωπείᾳ φύσει πάμπαν ἀπερίγραφον, διὰ βραχυτάτης σφαίρας μετρήσαντες. Ἰσλέον δέ σοι τοῦτο ἀπὸ τῆς Ἀράτου τοῦ Κίλικος σοφίας, ὃς τὴν τῶν ὁρωμένων καὶ μάλισλα τῶν οὐρανίων φύσιν πολυπραγμονῶν ἐν σφαιρίῳ μικρῷ τὴν σύμπασαν ἔγραψε τῶν ὑπερτέρων πορείαν, οἰκτρῷ πράγματι τὴν τοσαύτην τῶν μετεώρων ἀψῖδα παραβαλών. Τί σοι χρὴ λέγειν τοὺς τὴν ἄτομον φύσιν διὰ τὴν λεπλότητα τῇ πανσόφῳ καὶ ἀγενήτῳ παραβάλλειν οὐσίᾳ τολμήσαντας;

Fol. 102, r°.

Εἴ γε οὖν ταύτην οὕτως ἔχειν τῶν φιλοσόφων τὴν γνώμην καὶ αὐτὸς οὐκ ἀναίνῃ, τίνος χάριν ψέγεις τὴν βασιλείαν τῶν οὐρανῶν ὁμοιωθεῖσαν ζύμῃ; Τί δ' ἄξιον κέκτηται διαβολῆς ἡ ζύμη, ἥτις ἀρτύει πρὸς ζωὴν τοῖς ἀνθρώποις τὰ ἄλευρα, καὶ βραχυτάτη τις οὖσα μυρίων μεδίμνων εἰς ἀρτοποιΐαν ἄγει τὴν ποιότητα; Τονώσασα γὰρ καὶ καταζυμώσασα ἄρτι βραχέντα τῶν ἀλεύρων τὰ χύματα εὔθετον κρᾶσιν ἀποτελεῖ καὶ εὔπεπλον καὶ κατορθοῖ τῆς ζωῆς ἐν

[1] τῶ (sic) συνάπεως. — [2] ἐσαγμένης.

βίῳ τὸ κεφάλαιον· ἄνευ δὲ ζύμης ἄρτος ἀηδής τε καὶ ἄτονος καὶ πρὸς γεῦσιν καὶ τροφὴν οὐκ ἔσλιν ἐπιτήδειος. Εἴ γε οὖν καὶ ἡ βασιλεία τῶν οὐρανῶν κατακεχυμένην ἀτάκτως πολιτείαν ἐκράτυνε τρόπον τινὰ πρὸς οἰκείαν τάξιν ζυμώσασα τὴν πρὶν ἄτονον καὶ ἀτρόφιμον ἐσκορπισμένην, λελυμένην, ἐπίληπλον, τί ξένον ἐν τῷ πράγματι; τί δ' ἀλλότριον ἐν τῷ κατορθώματι; τί λυπηρὸν ἢ περιτλὸν ἐν τῷ γεγενημένῳ, εἰ τῶν ὑπερκοσμίων πραγμάτων ἐν
Fol. 102, v°. ἡμῖν ὁ λόγος συμπαθήσας κατέμιξεν ἑαυτὸν, τὴν οὐσίαν διὰ τῆς κοινωνίας ἡμῶν ἀνακαλούμενος πρὸς τὴν οἰκείαν ἵν' εἴπω τῆς λήξεως ἀρετήν; ὁμοίως τῇ ζύμῃ, ἣν λαβοῦσα γυνὴ[1] (ἡ κτίσις δηλαδὴ), ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, εἴς τε τὸ παρελθὸν καὶ τὸ ἐνεστὸς τοῦ χρόνου καὶ πρὸς τὸ μέλλον, πρὸς τὸ κεράσαι καὶ ποιῶσαι τὸν αἰῶνα, ἀρχὴν καὶ μέσα καὶ τέλη διορθώσασθαι, σῶμα, πνεῦμα, ψυχὴν ἀνδρεῖον ἐκτελέσαι, ὕψος, βάθος, πλάτος σφραγίσαι τῇ χάριτι.

Εἰ δὲ καὶ κόκκῳ παραβληθῇ σινάπεως[2], οὐδ' οὕτως ὑβρίζεται, ἀλλ' ἀποσεμνύνεται. Σπέρμα γὰρ τὸ σίναπι[3] λεπτὸν ὑπάρχον καὶ λίαν βραχύτατον σφόδρα μέν ἐστι δριμὺ καὶ θερμὸν, ἑλκτικὸν δὲ τῶν περὶ τὸν ἐγκέφαλον ῥύπων καὶ καθαρτικόν· ὄψοις δὲ καὶ τραπέζῃ συχνῶς παραπατλόμενον ὑγιεινὴν τῶν δαιτυμόνων τὴν ἕξιν ἐργάζεται, κόπτει μὲν κεκρυμμένων φλεγμάτων παχύτητα, τέμνει δὲ χυμῶν βλαβερῶν ὑγρότητα· σπειρόμενον δὲ διὰ τὴν λεπτότητα ὥσπερ ἐστὶν ἀφανὲς, βλαστῆσαν δὲ τὰ στελέχη μιμεῖται τοῖς ὕψεσιν. Εἰ δῆτα οὖν τῆς βασιλείας τῶν οὐρανῶν ὁ λόγος παραπλήσιον τῷ σινάπει ποιεῖται τὴν ἐνέργειαν, δρακοντείους[4] μὲν κακίας ἀπὸ καρδίας ἀνακαθαίρων, χυμοὺς δὲ ἀκολασίας ξηραίνων καὶ πᾶσαν ὑγρότητα ἀταξίας τε πολλὴν κατασπέλλει φλεγμονὴν καὶ σωρὸν[5] ἐγκείμενον χολῆς ἁμαρτημάτων ὑπεξάγει λεληθότως καὶ θεραπεύει τὸν ἄνθρωπον, ἐν συνάξει δὲ πληθους ὥσπερ κατα-
Fol. 103, r°. μιγνύμενος σαθηρὸν ποιεῖ <τὸ> τῶν ψυχῶν φρόνημα, ὅλον δ' ὑγιαίνειν παρασκευάζει τὸ λογικὸν δάκνων τοῖς ἐλέγχοις καὶ τέμνων τῇ διδαχῇ, θερμαίνων τῇ συμπαθείᾳ καὶ ζωπυρῶν τὸν λογισμὸν, συναναπλινόμενος καὶ συναναστάμενος[6] τοῖς τὰ θεῖα μανθάνουσιν, ἐν κόσμῳ σπειρόμενος καὶ τὸν καρπὸν τῆς ἀρετῆς δεικνύων ὑπερκόσμιον, ἐν γῇ βαλλόμενος καὶ τοὺς γηΐνους ἀνάγων εἰς ἁγιασμόν· εἰ δὴ οὖν τοσαύτην τῶν καλῶν ἔχει τὴν ἐργασίαν, ἁρμοδίως τῷ σινάπει διὰ τὴν λεπτότητα τῶν ἔργων ὡμοίωται· οὐδὲ γὰρ κυάμῳ οὐδ' ἄλλῳ τινὶ τῶν ὀσπρίων, ὧν τὸν λόγον Ἕλληνες μωραίνοντες θεῖον ὑπάρχειν ἐδογμάτισαν, ἀλλὰ τῷ σινάπει διὰ τὸ καθαρὸν, ὁμοίως καὶ τῷ μαργαρίτῃ διὰ τὸ

[1] In marg. περὶ ζύμις sec. manus. — [2] σίνηπι hic et alias. — [3] συνάπεως. In marg. περὶ κόκκου sec. manus. — [4] δρακοντίους. — [5] σορὸν. — [6] συνασταμενος pr. manus; νι add. sec.

πολύτιμον. Ὡς <ἐν> ἐνύδρῳ σαρκίῳ δηλαδὴ γιγνόμενος κόσμος ἐν κόσμῳ πρῶτος καὶ ἀσύγκριτος, οὕτως ἡ θεότης τοῦ ἐπιδημήσαντος ἐν σαρκὶ γενομένη[1] καὶ ταύτην φωτὸς ἀθολώτου πληρώσασα τῶν ἀθλίων ἐν ἀρετῇ τὸν βίον ἐκαλλώπισε πολλοῖς παρασκευάσασα λάμπειν τοῖς κατορθώμασιν, ὅσοι τὸν μαργαρίτην τοῦτον[2] εἰλικρινῶς δι' ἔργων ἀγαθῶν ἐκτήσαντο[3].

Διὸ πάνυ θεοπρεπῶς καὶ πιθανῶς (οὐ γὰρ ἀπιθάνως ὡς φής), ὁ σωτήριος Λόγος τοῖς μνημονευθεῖσιν ἑαυτὸν ἀφωμοίωσεν οὐχ ὡς νηπίοις οὐδ' ὡς ἀγνώμοσι διδοὺς τὰ μυστήρια, ἀλλ' [ὡς μ]ὲν[4] ἀνδράσιν ἀρτίοις τὰς φρένας καὶ τελείοις, ὡς δὲ νηπίοις τῆς τοῦ διαβόλου μοχθηρίας μὴ ἀπογευσαμένοις· τῶν δὲ
Fol. 103, v°. κακοσόφων καὶ τῶν συγγητῶν τῶν ἐν τῇ βδελυρίᾳ φρονίμων[5] ὑπαρχόντων, ἀπέκρυψε τῶν οὐρανίων δογμάτων τὰ κειμήλια καὶ τῆς ὄντως συνέσεως τὰς πύλας ἀπέκλεισεν.

[1] γενομένου. — [2] τοῦ pr. manus; τον superscr. sec. — [3] ἐκτήσατο pr. manus; in ἐκτήσαντο mut. sec. — [4] ἀλλ' ἐν. — [5] φρονήμων.

CAPUT XVIII.

Solutio de dicto : Non egent qui sani sunt medico, sed qui male habent.
(Luc. v, 31; Matth. IX, 12.)

Ἄλις ϖαρ' ἐμοὶ κριτῇ τὰ τῶν ἀποκρίσεων· ὅθεν[1], εἰ δοκεῖ, τὴν ϖεῦσιν τὴν ϖερὶ τῶν καλουμένων ἁμαρτωλῶν καὶ μὴ καλουμένων δικαίων σκεψώμεθα, καὶ τίς ὁ νοῦς ὁ ϖερὶ τῶν ὑγιαινόντων καὶ τῶν κακουμένων τῶν δεομένων ἰατροῦ.

Δύο τάγματα δηλοῖ ὁ Χριϛὸς ὧδε τρανῶς, ἓν μὲν ὑγιαῖνον, τὸ δίκαιον δηλαδὴ, ἓν δὲ κακούμενον, ὃ καὶ διαρρήδην ἁμαρτωλὸν ἐκάλεσε· δύο λογικὰς οὐσίας καὶ Φύσεις ἀνεδίδαξε καὶ τὴν μὲν ϖροσδεομένην, τὴν δὲ ἀϖροσδεῆ τυγχάνουσαν, τὴν ἀγγελικὴν καὶ τὴν ἀνθρωπείαν μηνύων ὑπόϛασιν, καὶ τὴν μὲν τῶν Ἀγγέλων ὕπαρξιν δικαίαν ὑπάρχουσαν εἰς μετάνοιαν μὴ καλεῖσθαί ϖοτε, μηδὲ γὰρ[2] ἔχειν ἔγκλημα ἐφ' ᾧ μετανοήσειεν, ἅτε τῆς ἄκρας καὶ ϖανευδαίμονος γείτων οὖσα μακαριότητος, ἅτε τὴν ἀθόλωτον κληρωσαμένη μονὴν ἁπλαίϛῳ κανόνι μετρεῖ[3] τὸ κατόρθωμα, ἅτε τὴν ἄκρατον καὶ ἀμιγῆ τοῦ Φωτὸς αὐγὴν ΦιλοσοΦοῦσα, ἅτε τὴν ἀνωτέρω τῆς ἀΦθαρσίας αὐλὴν οἰκεῖν ἐπιλαχοῦσα· καθαρεύει μὲν γὰρ ὕβρεως καὶ μώμου καὶ ῥυτίδος, καθαρεύει δὲ καὶ κηλίδος καὶ δόλου καὶ κακίας καὶ τῶν ἁμαρτημάτων ἀπελαύνει τὸ νόσημα καὶ διορθώσεως
Fol. 104, r°. οὐ δεῖται οὐδέ τινος ἐπιϛροΦῆς· αὕτη τοίνυν ἡ τῶν ὑπερκοσμίων ἀσώματος οὐσία ἤτοι δορυΦορία τῆς ἀνωλέθρου[4] τιμῆς ἀνεπίληπτον ἔχουσα[5] ϖολιτείας ἀρετὴν, ἀσινῆ ζωὴν, ἀνύπουλον ἀγάπην, ἀεὶ μετὰ τοῦ δικαίου τῷ δικαίῳ συνοῦσα, ἐγκαλεῖται μὲν οὐδέποτε, τῆς δ' ἀθανασίας ἔνδον τῶν ϖεριβόλων οὖσα ἄνοσον καὶ ἀγήρατον αἰῶνα κέκτηται, ἀκήρατον ἔχουσα καὶ μακρὸν τὸ ἐναύλισμα συνδιαιωνίζει τῷ βασιλεῖ τῶν αἰώνων.

Ἡ δ' ἀνθρωπεία Φύσις[6], λογικὴ μὲν καὶ αὐτὴ καὶ Φωτὸς νοεροῦ μέτοχος καὶ ἐπίβουλος, ἐξουσίαν ἔχουσα μηδὲν τῆς ἀγγελικῆς ἀπολειΦθῆναι[7] δόξης, λαβοῦσα δὲ ϖρὸς συμβουλίαν τῆς ῥᾳθυμίας τὴν γνώμην, ἀποπίπλει τοῦ κρείττονος· ὕλῃ ϖροσπαθήσασα χαμαιζήλων ϖραγμάτων καὶ ϖροσπλάτλουσα τῶν Φροντίδων τὸν Φορυτὸν ἑαυτῇ, ὅλη τῷ τῆς ἀπάτης ἐγκατεσπάρη λάκκῳ, ἀχρειωθεῖσα τὴν ψυχὴν καὶ ϖηρωθεῖσα τὸν νοῦν. Κλινήρης οὖν ὑπῆρχε τῇ τῶν

[1] In marg. sec. manus ϖερὶ κλίσεως (corr. κλήσεως) ἁμαρτωλῶν. — [2] χάριν. — [3] Locus corruptus videtur. Fors. ἅτε ἁπλαίϛῳ κανόνι μετροῦσα. — [4] ἀνολέθρου. — [5] ἔχου. — [6] In marg. sec. manus ϖερὶ Φύσεως ἀνθρωπείας. — [7] ἀπολειΦθεῖναι.

ἁμαρτημάτων ἀρρωστίᾳ πυρέττουσα, συχνῶς δαπανωμένη τῷ πάθει τῆς συμφορᾶς, θεσμὸν οὐκ εἶχεν, ἀκολουθίαν οὐκ ἤδει, οὐ τάξιν, οὐ λόγον, οὐ φιλόσοφον γνώμην, οὐκ ἀσκητικοῦ κανόνος δίαιταν ἢ διατριβήν· βέβλητο δ' ἐν τῷ σκίμποδι κακουμένη τοῦ σώματος, χώρων ἱερῶν ξένη καὶ ἀλλοτρία, δόγματος οὐρανίου ὀθνεία καὶ πολέμιος, μακάρων αὐλῆς ἀκλῖνα μὴ βλέπουσα, κεχυμένον ἔχουσα καὶ πολὺ παραπέτασμα, ἄσεμνον οἰκητήριον, μονὴν ἀκαλλώπιστον[1],
Fol. 104, v°. ἔξω μὲν θιάσου τῶν εὐσεβῶν ἔρριπτο πανηγύρεων, ἀπεσχοίνιστο δὲ πόρρω τῆς θείας ἐπισκοπῆς, ὡς συναλγῆσαι μικροῦ ἐπὶ τῇ τοσαύτῃ τῆς λογικῆς οὐσίας μεταβολῇ καὶ τροπῇ (ὡς οἶδε συναλγεῖν οὐκ ἔχουσα πάθος ἡ πανάγαθος πρόνοια), ὡς οἰκτεῖραι τὸ γενόμενον ἐξ ἀμελείας πλῶμα, ὡς τὸν Θεὸν Λόγον, ἵν' ἀνέλθῃ τὸ λογικὸν, κατελθεῖν εἰς συμπάθειαν, ὡς εἰς δικαιοσύνην καλέσαι τὸν ἄδικον, καὶ τὸν κακούμενον ἐν ἁμαρτίαις ὑγιάσαι τῇ χάριτι, ὡς
* Ioh. v, 14. εὐκαίρως τὸν ἰατρὸν λέξαι τῷ ἰαθέντι· «*Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε,» ὡς τὸν ἀκάματον τοῦ κάμνοντος λαβεῖν τὸ ἐλάττωμα, καὶ τὴν ἄχραντον οὐσίαν τὴν ῥῶσιν τοῦ πάσχοντος καὶ τοῦ ταπεινοῦ τὸν ὑψηλὸν δέξασθαι τὸ ἰδίωμα[2], καὶ τὸν ηὐλογημένον[3] τοῦ καταράτου τὸ φύραμα, ὡς συμπλακῆναι τῷ ζωντῷ τὸ ἀθάνατον, ὡς θύραν γένεσθαι τῷ ἀποκεκλεισμένῳ τὸν δημιουργὸν καὶ[4] εἴσοδον τοῦ δημιουργήματος, ὡς συναλλάξαι μυστικῶς τὸν ἄφθαρτον τῷ φθαρτῷ, ὡς συνανακλιθῆναι τοῖς λίαν ἁμαρτωλοῖς <τὸν ἀναμάρτητον> καὶ μὴ[5] συγκαταπεσεῖν, ἀλλὰ συνανασταθῆναι, ὡς πᾶσαν οἰκονομίαν ἀμεταβλήτῳ φύσει καὶ λόγῳ πραγματεύσασθαι καὶ μετὰ τῶν ἀνόμων γενέσθαι τὸν ἔννομον, καὶ τὸν δίκαιον τῶν ἀδίκων ἀσμενίσαι τὴν δίαιταν καὶ τὸ τῶν κατεγνωσμένων ἀναλαβεῖν ὄργανον, καὶ τούτῳ μεσίτῃ[6] καὶ λειτουργῷ χρησάμενον εἰς <τὴν> οἰκείαν τοὺς ἐρριμμένους[7] καὶ μικροῦ δεῖν ὀδωδότας ἐν νόσῳ παρα-
Fol. 105, r°. κοῆς εἰς ῥῶσιν ἀγαγεῖν φιλανθρωπίας ὑπερβολῇ. Τοῦτο γὰρ ἴδιον τῇ πανάγαθῳ φύσει τὸ μὴ μόνον χαιρεῖν ἐφ' οἷς ἔχει δικαίοις μηδὲ τοῖς ὑγιαίνουσιν ἁπλῶς ἐνευφραίνεσθαι μηδὲ τοῖς ὑπερκοσμίοις συνδιακεῖσθαι λαμπρῶς, ἀλλὰ καὶ τοὺς ἀδίκους εἰς τὴν τῶν δικαίων εἰσάγειν ἀπόλαυσιν καὶ τοὺς κακουμένους εἰς τὴν τῶν ἐρρωμένων χειραγωγεῖν ὑγίειαν καὶ τοὺς κεκλονημένους[8] ἐν κόσμῳ τῆς κακίας εἰς τὴν τῶν ὑπερκοσμίων ἀνάγειν εὐταξίαν, καὶ μίαν ἀγέλην τὸ πᾶν ἀπεργάσασθαι ὑπ' ἀγελάρχῃ μεγάλῳ σωζομένην καὶ μένουσαν ἔγγειον, ὑπέργειον[9], κόσμιον.

[1] ἐγκαλλώπιστον. — [2] Talis post correctionem, ipsi, ut videtur, primæ manui attribuendam, evasit totus hic locus. Prior scriptura fuit : τὴν χρῶσιν τοῦ πάσχοντος· καὶ τοῦ ταπεινοῦ δέξασθαι τὸ ὑψηλὸν ἰδίωμα. — [3] εὐλογημένον. — [4] καὶ τὸν δημιουργὸν εἴσοδον. — [5] μὴ add. ipsa, ut vid., pr. manus in marg. — [6] μεσήτῃ. — [7] ἐρριμένους. — [8] κεκλονομένους. — [9] ὑπέργιον.

Ἔσ|ι γοῦν ἰδεῖν ὡς ἄνωθεν ἀρξάμενος ἐκάλει τὴν ἀνθρωπίνην Φύσιν ἁμαρτήσασαν, τῷ Ἀδὰμ λέγων· «[a]Ἀδὰμ, ποῦ εἶ;» τῷ Καΐν φάς· «[b]Ἥμαρτες, ἡσύχασον[1]·» [c]τὸν Ἐνὼς ἐδίδασκεν ἐπικαλεῖσθαι τὸ Θεῖον[2], μετὰ τὸ γεννῆσαι καλῶν εἰς μετάνοιαν καὶ ποιῶν ἐκ μετανοίας εὐαρεσ|ῆσαι Θεῷ, τὸν[3] Νῶε καλῶν καὶ δι' αὐτοῦ σώζων τὴν συγγένειαν· τὸν Ἀβραὰμ καὶ αὐτὸν ἐκάλει διὰ τῆς πίσ|εως, ἀλλὰ πλημμελήσαντα καὶ τῶν Ἀγγέλων ποιεῖ σύσσιτον καὶ συνέσ|ιον· πάντας ἁπαξαπλῶς τῆς παρακοῆς τῷ κέντρῳ πληγέντας ἁμαρτωλοὺς ἐκάλει· κἂν τοὺς Πατριάρχας ἐρεῖς καὶ τοὺς περὶ τὸν Μωσῆν καὶ τοὺς Προφήτας αὐτοὺς, πάντες ἐκλήθησαν καὶ διὰ τῆς κλήσεως ἐφάνησαν πάντες δίκαιοι, τοῦ καλοῦντος τὴν κλῆσιν μὴ παραπεμπόμενοι μηδὲ τῆς φιλοτιμίας τὸ δῶρον ὑβρίζοντες. Ἀνάγκη δὲ τοὺς μετ' αὐτοῦ[4] τυγχάνοντας Ἀγγέλους, δικαίους ὄντας καὶ <τὸν> τῆς δικαιοσύνης χῶρον εὐτυχήσαντας μὴ καλεῖσθαι (τίς γὰρ τοὺς ἔνδον ὄντας ὡς ἔξω τυγχάνοντας εἴσω τούτους καλέσειεν;) ἀλλὰ τοὺς πόρρω δηλαδὴ καὶ μακρὰν ἐρριμμένους[5] τῶν οὐρανίων αὐλῶν ἀγαθότητι συνάγειν καὶ Φιλανθρωπίᾳ καλεῖν καὶ τοῖς κακουμένοις, οὐχὶ τοῖς ὑγιαίνουσι, τὰ τῆς συμπαθείας ἐπιτάτ|ειν Φάρμακα καὶ τοῖς Φλεγμαίνουσι καὶ δεινῶς δυσχεραίνουσι χορηγεῖν τὰ δυνάμενα τὴν ἀλγηδόνα πραῦναι καὶ παρακαθίσαι τοῖς ἐξ ἐπιβουλῆς ἤτοι κακεξίας πικρῶς ὀλολύζουσιν.

Fol. 105, v°.

Εἰ δ' ἦν ὁ ἄνθρωπος τῆς πρώτης ἐντολῆς τὸν νόμον Φυλάξας καὶ τῆς παραγγελίας τετηρήκει τὸν Θεσμὸν, οὐκ ἂν ὁ δημιουργὸς ἐγίνετο ἰατρὸς οὐδ' ὁ ποιητὴς εἰς κλήτορος κατῆλθεν εὐτέλειαν, ἔνδον τῶν οὐρανίων κιγκλίδων ὑπάρχοντος τοῦ ἀνθρωπίνου γένους, τὴν ζωὴν ἄνοσον καὶ ἄφθορον ἔχοντος. Ἐπεὶ δ', ὡς ἔφην, τῆς δοθείσης ἠμέλησεν ἐντολῆς καὶ τὸ δεσποτικὸν ἠλόγησε πρόσταγμα, εὐθὺς ἁμαρτημάτων ἐπέφυ νοσήματα καὶ ἐσμὸς ἀδικημάτων τὴν ψυχὴν ἐθορύβησε· Φόβος τοῦ λογισμοῦ προδοθέντος ἐπέπεσεν εὐθὺς, ἀρωγοῦ χρείᾳ καὶ συμπάσχοντος ἰατροῦ· εὐθὺς ἀνεκάλει ὁ κλήτωρ τὸν ἀδικήσαντα, λέγων· «[d]Ποῦ εἶ;» καὶ ἄλλῳ λέγων· «[e]Τί δέδρακας;» ἕτερον καλῶν ἐξ ἀνθρώπων ἐχώριζεν· ἄλλῳ φησίν· «[f]Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου,» ἑτέρῳ[6] λέγων· «[g]Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου· νῦν οὖν ποίησον ὃ λέγω σοι.» Ὃ δὲ ἔλεγεν ἑνὶ, τοῖς πᾶσιν ἐνεβρόντα, πάντας εἰς μετάνοιαν καλῶν καὶ διόρθωσιν, ἑτέρῳ λέγων· «Λῦσον τῆς παλαιᾶς συνηθείας τὸ πέδιλον, κατέβην γὰρ ἐξελέσθαι τοὺς καταπονουμένους·» ἄλλῳ φάσκων· «[h]Ἐγὼ ἀρχισ|ράτηγος[7] τῶν Θείων δυνάμεων, νυνὶ παραγέγονα, καὶ μὴ κλύζου τῇ

[a] Gen. III, 9.
[b] Gen. IV, 7.
[c] Cf. Gen. IV, 26.
[d] Gen. III, 9.
[e] Gen. IV, 10.
[f] Gen. XII, 1.
[g] Cf. Gen. VI, 13.
[h] Ies. V, 14.

[1] ἡσύχαζον. — [2] τὸν Ἐνὼς—Θεῖον] Primum omissa, sed postea adscripta in marg. ab ipsa, ut vid., pr. manu. — [3] τῷ. — [4] αὐτοὺς. — [5] ἐρριμένους. — [6] καὶ ante ἑτέρῳ del. a sec. manu. — [7] ἀρχησ|ράτηγος.

[a] Isai. vi, 8. Φροντίδι τοῦ σωματικοῦ κύματος· » ἑτέρῳ· « [a]Τίνα ἀποστείλω, καὶ τίς πορεύ-
Fol. 106, r°. σεται πρὸς τὸν λαόν; » ἄλλῳ· « Λάβε τοὺς λόγους μου εἰς τὸ στόμα σου· »
ἕτερον υἱὸν ἀνθρώπου καλῶν ἐθεοποίει, ἄλλον ἐπιθυμίας υἱὸν ἀπεθρύλλει,
πάντας μετὰ τὴν παράβασιν ἐκάλει καὶ παρεκάλει, πῇ μέν, ὡς ἰατρὸς τοὺς
σηπομένους ἰώμενος, πῇ δ' ὡς δίκαιος τοὺς ἀδίκους μηκέτι ζῆν ἀδίκως νουθε-
τῶν[1], πῇ δ' ὡς Θεὸς Λόγος τοὺς λογικοὺς Θεοὺς ἐργαζόμενος, πῇ δὲ Χριστοὺς
ὡς Χριστός, πῇ δ' ἀφθόρους ὡς ἄφθαρτος, πῇ δ' εἰς ἀθανασίαν ἀθάνατος ὢν
τοὺς θνητοὺς ἐποδήγει· πᾶν γένος ἀνθρώπων ἐπὶ τὴν ὄλβιον τῆς μακαριότη-
τος εὐδαιμονίαν ἐκάλει καὶ καλεῖ μέχρι τήμερον.

Μὴ γὰρ νομίσῃς ὅτι κατ' ἐκεῖνον μόνον[2] καθ' ὃν ἐνηνθρώπησε τὸν καιρὸν,
ἐκάλεσε, πρὸ δὲ τῆς σαρκώσεως ἢ μετὰ τὴν ἔνσαρκον καὶ μακαρίαν ἀνάληψιν,
τοῦ καλεῖν ἐπελάθετο, ἀλλὰ πάντας τοὺς παραβαίνοντας καλεῖ καὶ προσκα-
[b] Luc. v, 32. λεῖται εἰπὼν ἀπαρεμφάτως, μᾶλλον δ' ἀορίστως· « [b]Οὐκ ἦλθον καλέσαι δικαίους,
ἀλλὰ ἁμαρτωλούς » τουτέστιν « Ἦλθον καὶ ἐπὶ τοῦ Ἀδὰμ, ἦλθον καὶ ἐπὶ τῶν
υἱέων[3] Νῶε, ἦλθον καὶ ἐπὶ τῶν Πατριαρχῶν καὶ πασῶν ὁμοῦ τῶν ἀνθρωπείων
φυλῶν. » Εἰ γὰρ ἦν εἰπὼν, Οὐ πάρειμι, ἢ Οὐδὲ παραγέγονα νῦν καλέσαι,
δικαίως ἂν ἐνομίσθη μόνον τότε[4] κεκληκέναι τινὰς, ὅτε καὶ ἐνηνθρώπησε· νῦν
δ' εἰπὼν, Οὐκ ἦλθον, ἀόριστον ἐμφαίνει τῆς παρουσίας τὸν χρόνον ἄνωθεν καὶ
ἐξ ἀρχῆς, καὶ μέχρι συντελείας τὴν κρίσιν ποιούμενος. Εἰ δὲ πολλοὶ τῶν κα-
λουμένων εἰς τὴν κλῆσιν ἐλθεῖν ὑπερέθεντο, οὐδὲν ὑπάρχει τοῦ καλοῦντος τὸ
αἴτιον, ἐπεὶ μηδ' ἥλιος πάντας ἀνθρώπους εἰς οἰκεῖον σέλας προσκαλούμενος[5],
τοῖς ἐν μέθῃ καθεύδουσι τῆς ἀβλεψίας αἴτιος, ἀλλ' αὐτοὶ ἑαυτοῖς ἐξ αὐθαιρέτου[6]
Fol. 106, v°. κακίας τοῦ σκότους παραίτιοι· ὡσαύτως ὁ Χριστὸς πάντας καλεῖ ἐπὶ τὴν φι-
λανθρωπίαν τῆς πατρῴας ἀκτῖνος· εἰ δέ τινες μεθυσθέντες τῇ κακίᾳ τοῦ δαί-
μονος τοῦ μακαρίου φωτὸς τὸν σκότον προὐτίμησαν, οὐ προσαπλέον τῷ
Χριστῷ τουτὶ τὸ ἐπιτήδευμα, ἀλλὰ τῇ ἀνθρωπείᾳ φύσει καὶ προαιρέσει, ἐξου-
σίαν ἐχούσῃ ῥέπειν ἐπὶ τὸ κρεῖττον καὶ τὸ φαῦλον ὁμοίως, ὅπῃ θέλει καὶ
βούλεται. Ὅθεν τῆς προκειμένης καὶ πολλῆς ταύτης ὑποθέσεως ἱκανῶς εἰρη-
μένης, λοιπὸν ἡσυχαστέον· εἰ δ' ἕτερόν πού σοι τῶν θείων παιδευμάτων ἐν
ἀπορίᾳ[7] λόγιον ὥσπερ ὑποσμήχεται, μηδὲν ὑποστειλάμενος τοῦτ' ἐν τῷ μέσῳ
προθες[8]· ἔσται γὰρ οὐχ ἡ τυχοῦσα κἀν τούτῳ γυμνασία.

[1] ἐνουθέτει. — [2] μόνον a pr. manu omissum, in marg. νόμον sec. et μόνον tertia quædam manus. — [3] γεῶν. — [4] καὶ ante κεκληκέναι delevi. — [5] προκαλούμενος. — [6] αὐθερέτου. — [7] ἀπορείᾳ. — [8] προῦθες.

CAPUT XIX.

Quæstio de dicto : Sed abluti estis, sed sanctificati estis. (I Cor. VI, 11.)

PHILOSOPHUS.

Ὅδ' ὥσπερ ἔκ τινος κινηθεὶς μετεώρου διατριβῆς, ὁμηρικὸν ἡμῖν ἔπος μετὰ γελοιασμοῦ κατέτεινεν ἱκανοῦ φάς· « Εὐλόγως Ὅμηρος τὴν ἀνδρείαν τῶν Ἑλλήνων, ἅτε πεπαιδευμένην, ἡσυχάζειν ἐπέτατλε, τὴν δ' ἀνίδρυτον τοῦ Ἕκτορος γνώμην ἐδημοσίευσεν, ἐμμέτρῳ λόγῳ[1] δημηγορῶν τοῖς Ἕλλησι· « [a]Σχέσθ', Ἀργεῖοι » λέγων, « μὴ βάλλετε, κοῦροι Ἀχαιῶν· σλεῦται γάρ τοι ἔπος ἐρέειν κορυθαίολος Ἕκτωρ, » καὶ νῦν ἐφ' ἡσυχίας ὧδε πάντες καθεδούμεθα· ἐπαγγέλλεται γὰρ ἡμῖν καὶ διαβεβαιοῦται ὁ τῶν χρισλιανικῶν δογμάτων ὑφηγητὴς τὰ σκοτεινὰ τῶν Γραφῶν ἑρμηνεύειν κεφάλαια. Λέγε δ' οὖν ἡμῖν, ὦ τᾶν, σαρακολουθοῦσι τοῖς ὑπὸ σοῦ φραζομένοις τί φησιν ὁ Ἀπόσλολος· « Ἀλλὰ ταῦτα τίνες ἦτε; (δῆλον δ' ὅτι τὰ φαῦλα), ἀλλὰ[2] ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χρισλοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν[3]. » Θαυμάζομεν γὰρ καὶ ὄντως[4] ἐπὶ τοῖς τοιούτοις τὴν ψυχὴν ἀπορούμεθα, εἰ τοσούτων μολυσμῶν καὶ μιασμῶν ἄνθρωπος ἅπαξ ἀπολουσάμενος ὀφθήσεται καθαρὸς, εἰ τοσαύτης βλακείας ἀναμεμαγμένος κηλῖδας ἐν τῷ βίῳ, πορνείας, μοιχείας, μέθης, κλοπῆς, ἀρσενοκοιτίας, Φαρμακείας καὶ μυρίων Φαύλων καὶ μυσαρῶν πραγμάτων, μόνον βαπλισθεὶς καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Χρισλοῦ ἐλευθεροῦται ῥᾷον καὶ τὸ πᾶν ἄγος καθάπερ ὄφις παλαιὸν ἀποδύεται Θώρακα. Τίς οὐκ ἂν ἐντεῦθεν ῥητοῖς καὶ ἀρρήτοις ἐπιτολμήσῃ κακοῖς καὶ δράσῃ τὰ μήτε λόγῳ ῥητὰ, μητ' ἔργοις φορητὰ, γνοὺς ὡς τῶν τοσούτων ἐναγεσλάτων ἔργων λήψεται τὴν ἀπόλυσιν, μόνον πισλεύσας καὶ βαπλισάμενος καὶ συγγνώμης τυχεῖν ἐλπίσας μετὰ ταῦτα παρὰ τοῦ μέλλοντος κρῖναι τοὺς ζῶντάς τε καὶ τοὺς νεκρούς; Ταῦθ' ἁμαρτάνειν προτρέπεται τὸν ἀκούοντα, ταῦτ' ἐφ' ἑκάσλης πράλειν διδάσκεται τὰ ἀθέμιτα, ταῦτ' οἶδεν[5] ἐξορίσαι καὶ τοῦ νόμου τὴν παίδευσιν, καὶ τὸ δίκαιον αὐτὸ κατὰ τῶν ἀδίκων μηδὲν ἰσχύειν ὅλως, ταῦτ' εἰσάγει τὴν ἄθεσμον ἐν κόσμῳ πολιτείαν καὶ δογματίζει τὴν ἀσέβειαν ὅλως μὴ δεδοικέναι, ὁπότε μυρίων ἀδικημάτων σωρὸν μόνον βαπλισάμενος ἄνθρωπος ἀποτίθεται· καὶ τοῦτο μὲν ὧδε τοῦ λόγου τὸ κομψὸν πλάσμα.

[a] Iliad. III, 83.

[1] ἐμμέτρῳ λόγου. — [2] ἀλλὰ pr. omissum add. in marg. pr. manus. — [3] ἡμῶν add. sec. manus. — [4] οὕτως pr. manus in textu; ὄντας in marg. incerta manus. — [5] εἶδεν.

Fol. 107, r°.

CAPUT XX.

Quæstio de Monarchia [1].

Τὸ μέντοι περὶ τῆς μοναρχίας τοῦ μόνου Θεοῦ καὶ τῆς πολυαρχίας[2] τῶν
Fol. 107, v°. σεβομένων Θεῶν διαρρήδην ζητήσωμεν[3], ὧν οὐκ οἶδας[4] οὐδὲ τῆς μοναρχίας τὸν λόγον ἀφηγήσασθαι. Μονάρχης γάρ ἐστιν οὐχ ὁ μόνος ὤν, ἀλλ' ὁ[5] μόνος ἄρχων· ἄρχει δ' ὁμοφύλων δηλαδὴ[6] καὶ[7] ὁμοίων, οἷον Ἀδριανὸς[8] ὁ βασιλεὺς μονάρχης γέγονεν, οὐχ ὅτι μόνος ἦν οὐδ' ὅτι βοῶν καὶ προβάτων ἦρχεν, ὧν ἄρχουσι ποιμένες ἢ βουκόλοι, ἀλλ' ὅτι ἀνθρώπων ἐβασίλευε[9] τῶν ὁμογενῶν τὴν αὐτὴν φύσιν ἐχόντων. Ὡσαύτως Θεὸς οὐκ ἂν μονάρχης[10] κυρίως ἐκλήθη, εἰ μὴ Θεῶν ἦρχε· τοῦτο γὰρ ἔπρεπε τῷ Θείῳ μεγέθει καὶ τῷ οὐρανίῳ καὶ[11] πολλῷ ἀξιώματι.

[1] Cap. xx et xxi integra, sed non uno tenore, Nicephorus in Antirrheticis, repetiit. Vide Spicilegium Solesmense, t. I, p. 309, cujus varias lectiones afferam. — [2] τοῦ μόνου Θεοῦ καὶ τῆς πολυαρχίας om. Nicephorus. — [3] ζητήσομεν Nic. — [4] οἶσθα Nic. — [5] ἀλλὰ μόνος Nic. — [6] δηλδή. — [7] ἢ Nic. — [8] Ἀνδριανὸς. — [9] ἐβασίλευσεν Nic. — [10] μόναρχης οὐκ ἂν Nic. — [11] καὶ add. sec. manus.

CAPUT XXI.

Quæstio de Angelis immortalibus et de Tabulis digito Dei scriptis.
(Exod. xxxi, 18.)

Εἰ γοῦν[1] Ἀγγέλους φατὲ τῷ Θεῷ παρεσλάναι ἀπαθεῖς καὶ ἀθανάτους καὶ τὴν φύσιν ἀφθάρτους, οὓς ἡμεῖς θεοὺς λέγομεν, διὰ τὸ πλησίον αὐτοὺς εἶναι τῆς θεότητος, τί τὸ ἀμφισβητούμενον περὶ τοῦ ὀνόματος, ἢ μόνον τὸ διαφορὰν ἡγεῖσθαι τῆς κλήσεως; Καὶ γὰρ τὴν καλουμένην ὑφ' Ἑλλήνων Ἀθηνᾶν Μινερβᾶν οἱ Ῥωμαῖοι καλοῦσιν, Αἰγύπλιοι δὲ καὶ Σύροι καὶ Θρᾷκες ἄλλως[2] προσαγορεύουσι, καὶ οὐ δήπου τῇ τῶν ὀνομάτων διαφορᾷ συσχηματίζεται ἢ ἀναιρεῖταί <τι> τῆς τοῦ Θεοῦ προσηγορίας. Εἴτε οὖν θεοὺς εἴτε ἀγγέλους τις αὐτοὺς[3] ὀνομάζει, οὐ πολὺ τὸ διάφορον, τῆς φύσεως αὐτῶν μαρτυρουμένης θείας, ὁπότε γράφει Ματθαῖος οὕτως· « [a]Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε· Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ· ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς Ἄγγελοι ἐν τῷ οὐρανῷ. » Ὁμολογουμένου τοίνυν θείας φύσεως τοὺς Ἀγγέλους[4] μετέχειν, οἱ τὸ πρέπον σέβας τοῖς[5] θεοῖς ποιοῦντες, οὐκ ἐν ξύλῳ ἢ λίθῳ ἢ χαλκῷ, ἐξ οὗ τὸ βρέτας[6] κατασκευάζεται, τὸν Θεὸν εἶναι νομίζουσιν, οὐδ' εἴ τι[7] μέρος ἀγάλματος ἀκρωτηριασθῇ, τῆς τοῦ Θεοῦ δυνάμεως ἀφαιρεῖσθαι κρίνουσιν[8]. Ὑπομνήσεως γὰρ ἕνεκα[9] τὰ ξόανα καὶ οἱ ναοὶ ὑπὸ τῶν παλαιῶν ἱδρύθησαν[10], ὑπὲρ τοῦ φοιτῶντας ἐκεῖσε τοὺς προσίοντας[11] εἰς ἔννοιαν γίνεσθαι τοῦ Θεοῦ ἢ[12] σχολὴν ἄγοντας καὶ τὸ λοιπὸν[13] καθαρεύοντας εὐχαῖς καὶ ἱκεσίαις χρῆσθαι, αἰτοῦντας[14] παρ' αὐτῶν ὧν ἕκασλος[15] χρῄζει. Καὶ γὰρ εἴ τις εἰκόνα κατασκευάσει Φίλου, οὐκ ἐν ἐκείνῃ δήπουθεν αὐτῷ νομίζει τὸν Φίλον εἶναι οὐδὲ τὰ μέλη[16] τοῦ σώματος ἐκείνου τοῖς τῆς γραφῆς ἐγκεκλεῖσθαι μέρεσιν, ἀλλὰ τὴν εἰς τὸν Φίλον τιμὴν[17] δι' εἰκόνος δείκνυσθαι· τὰς δὲ προσαγομένας τοῖς θεοῖς θυσίας οὐ τοσοῦτον τιμὴν εἰς αὐτοὺς φέρειν[18], ὅσον δεῖγμα εἶναι τῆς τῶν θρησκευόντων προαιρέσεως καὶ τοῦ μὴ πρὸς αὐτοὺς ἀχαρίσλως διακεῖσθαι·

[a] Matth. xxii, 29-30.

[1] γὰρ. — [2] ἄλλως in marg. sec. manus. — [3] θεούς τις αὐτοὺς εἴτε ἀγγέλους Nic. — [4] θείας — μετέχειν] In margine adscribitur glossema ad hæc verba pertinens : οὐκ ἐσλὶν ἀληθὲς τοῦτο. — [5] σεβασλοῖς Nic. — [6] βρέτας Nic.; σέλας codex. — [7] εἰ τὸ. — [8] οὐδ' εἰ τὸ μέρος — κρίνουσιν non attulit Nic. — [9] ἕνεκεν Nic. — [10] ἱδρύνθησαν Nic. — [11] ἐκεῖσε τοὺς προσίοντας Nic.; ἐκεῖ τοὺς εἰσίοντας cod. — [12] εἰ Nic. — [13] τῶν λοιπῶν. — [14] αἰτοῦντα Nic. — [15] ἕκασλος Nic. — ἑκασλα cod. — [16] μέρη Nic. — [17] τιμῆς Nic. — [18] φέρει Nic.

ἀνθρωποειδῆ δὲ τῶν ἀγαλμάτων εἰκότως εἶναι τὰ σχήματα, ἐπεὶ τὸ κάλλιστον τῶν ζῴων ἄνθρωπος εἶναι νομίζεται καὶ εἰκὼν Θεοῦ. Ἔνι δ' ἐξ ἑτέρου λόγου[1] τοῦτο κρατῦναι τὸ δόγμα, διαβεβαιουμένου δακτύλους ἔχειν τὸν Θεὸν, οἷς γράφει, φάσκων· « [a]Καὶ ἔδωκε τῷ Μωσῇ τὰς δύο πλάκας τὰς γεγραμμένας τῷ δακτύλῳ τοῦ Θεοῦ, » ἀλλὰ καὶ οἱ Χριστιανοὶ μιμούμενοι τὰς κατασκευὰς τῶν ναῶν, μεγίστους οἴκους οἰκοδομοῦσιν, εἰς[2] οὓς συνιόντες εὔχονται, καίτοι μηδενὸς κωλύοντος ἐν ταῖς οἰκίαις τοῦτο πράττειν, τοῦ Κυρίου[3] δηλονότι πανταχόθεν ἀκούοντος.

[a] Exod. xxxi, 18.

[1] λόγου om. Nic. — [2] καὶ pr. manus; in εἰς mut. sec. — [3] τοῦ Κυρίου Nic.; om. codex.

CAPUT XXII.

Quæstio de incarnatione Verbi.

Εἰ δὲ καί τις τῶν Ἑλλήνων οὕτω κοῦφος[1] τὴν γνώμην, ὡς ἐν τοῖς ἀγάλ-
Fol. 108, v°. μασιν ἔνδον οἰκεῖν νομίζειν τοὺς θεούς, πολλῷ καθαρώτερον εἶχε τὴν ἔννοιαν τοῦ πιστεύοντος ὅτι εἰς τὴν γαστέρα Μαρίας τῆς παρθένου εἰσέδυ τὸ θεῖον, ἔμβρυόν τε ἐγένετο καὶ τεχθὲν ἐσπαργανώθη, μεστὸν αἵματος χόριον[2] καὶ χολῆς καὶ τῶν[3] ἔτι πολλῷ τούτων ἀποπωτέρων.

[1] κούφως. — [2] χωρίον. — [3] τῶν in marg. sec. manus.

CAPUT XXIII.

Quæstio de dicto : Deos non maledices. (Exod. xxii, 28.)

Ἔχοιμι ἄν σοι καὶ ἀπὸ τοῦ νόμου δεῖξαι τὸ τῶν Θεῶν πολύοπλον ὄνομα, ἐν τῷ βοᾶν καὶ μετὰ πολλῆς αἰδοῦς νουθετεῖν τὸν ἀκούοντα· « Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. » Οὐ γὰρ ἄλλους παρὰ τοὺς ἡμῖν νομιζομένους[1] Θεοὺς λέγει, ἐξ ὧν ἴσμεν ἐν τῷ· « [a]Οὐ πορεύσῃ ὀπίσω Θεῶν, » καὶ πάλιν· « [b]Ἐὰν πορευθῆτε καὶ λατρεύσητε Θεοῖς ἑτέροις. » Ὅτι γὰρ[2] οὐκ ἀνθρώπους, ἀλλὰ Θεοὺς[3] τοὺς ὑφ' ἡμῶν δοξαζομένους λέγει οὐ μόνον Μωσῆς, ἀλλὰ καὶ Ἰησοῦς ὁ διάδοχος αὐτοῦ φησιν τῷ λαῷ· « [c]Καὶ νῦν φοβήθητε αὐτὸν καὶ λατρεύσατε αὐτῷ μόνῳ καὶ περιέλεσθε τοὺς Θεούς, οἷς ἐλάτρευσαν οἱ πατέρες ὑμῶν, » καὶ Παῦλος δὲ οὐ περὶ ἀνθρώπων, ἀλλὰ περὶ τῶν ἀσωμάτων φησίν· « [d]Εἴπερ εἰσὶν οἱ λεγόμενοι Θεοὶ πολλοὶ καὶ κύριοι πολλοί, εἴτε ἐπὶ γῆς, εἴτε ἐν οὐρανῷ, ἀλλ' ἡμῖν εἷς Θεὸς καὶ πατὴρ ἐξ οὗ τὰ πάντα, » διὸ πάνυ σφάλλεσθε νομίζοντες χαλεπαίνειν τὸν Θεὸν, εἴ τις καὶ ἄλλος κληθείη Θεὸς καὶ τῆς αὐτοῦ προσηγορίας τυγχάνοι[4], ὁπότε καὶ ἄρχοντες ὑπηκόοις καὶ δούλοις δεσπόται τῆς ὁμωνυμίας οὐ φθονοῦσιν· οὐ θεμιτὸν γοῦν μικροψυχότερον ἀνθρώπων τὸν Θεὸν εἶναι νομίζειν. Καὶ περὶ μὲν τοῦ εἶναι Θεοὺς καὶ δεῖν τιμᾶσθαι τούτους, ἅλις.

[a] Cf. Ierem. vii, 6.
[b] Cf. Deut. xii, 28.
[c] Ies. xxiv, 14.
[d] I Cor. viii. 5.

[1] ὧδε add. in codice. — [2] In marg. ποίους λέγει Θεοὺς sec. manus. — [3] καί. — [4] τυγχάνει.

CAPUT XXIV.

Quæstio de resurrectione carnis.

Περὶ δὲ τῆς ἀνασ[άσεως τῶν νεκρῶν αὖθις ἀφηγητέον. Τίνος γὰρ[1] ἕνεκεν
Fol. 109, r°. τοῦτο ποιήσειεν ὁ Θεὸς, καὶ τὴν μέχρι νῦν τῶν γενομένων διαδοχὴν, δι' ὧν ὥρισε τὰ γένη σώζεσθαι καὶ μὴ διαλείπειν, ἀναλύσειε[2] προχείρως οὕτως ἐξ ἀρχῆς νομοθετήσας καὶ διατυπώσας; Τὰ δ' ἅπαξ δόξαντα τῷ Θεῷ καὶ τοσούτῳ φυλαχθέντα αἰῶνι, αἰώνια αὐτὰ προσήκει εἶναι, καὶ μήτε καταγινώσκεσθαι ὑπὸ τοῦ δημιουργήσαντος μήτε διαφθείρεσθαι[3] ὡς ὑπό τινος ἀνθρώπου γενόμενα καὶ ξυητὰ ὑπὸ ξυητοῦ κατεσκευασμένα[4]. Ὅθεν ἄλογον[5] εἰ, τοῦ παντὸς φθαρέντος, ἀκολουθήσει ἡ ἀνάσ[ασις, εἰ τὸν πρὸ τριῶν, εἰ τύχοι, τῆς ἀνασ[άσεως τελευτήσαντα ἀνασ[ήσει <καὶ> σὺν αὐτῷ Πρίαμον καὶ Νέσ[ορα τοὺς πρὸ χιλίων ἐτῶν ἀποθανόντας καὶ ἄλλους πρὸ ἐκείνων ἀπὸ τῆς ἀνθρωπείας γενέσεως. Εἰ δὲ κἀκεῖνό τις ἐθέλοι κατανοεῖν, εὑρήσει μεσ[ὸν ἀβελτηρίας πρᾶγμα τὸ τῆς ἀνασ[άσεως· πολλοὶ γὰρ ἐν θαλάτ[η πολλάκις ἀπώλοντο καὶ ὑπὸ ἰχθύων ἀνηλώθη τὰ σώματα, πολλοὶ δ' ὑπὸ θηρίων καὶ ὀρνέων ἐβρώθησαν· πῶς οὖν τὰ σώματα αὐτῶν ἐπανελθεῖν οἷόν τε; Φέρε γὰρ τὸ λεχθὲν λεπ[ῶς βασανίσωμεν· οἷον, ἐναυάγησέ τις, εἶτα τρίγλαι τοῦ σώματος ἐγεύσαντο, εἶθ' ἁλιεύσαντές τινες καὶ φαγόντες ἐσφάγησαν καὶ ὑπὸ κυνῶν ἐβρώθησαν, τοὺς κύνας ἀποθανόντας κόρακες παμμελεὶ καὶ γῦπες ἐθοινήσαντο[6]· πῶς οὖν συναχθήσεται τὸ σῶμα τοῦ ναυαγήσαντος διὰ τοσούτων ἐξαναλωθὲν ζῴων; Καὶ δὴ ἄλλο πάλιν ὑπὸ πυρὸς ἀναλωθὲν καὶ ἕτερον εἰς σκώληκας λῆξαν, πῶς οἷόν τε εἰς τὴν ἐξ ἀρχῆς ἐπανελθεῖν ὑπόσ[ασιν;

Ἀλλ' ἐρεῖς μοι ὅτι τοῦτο τῷ Θεῷ δυνατὸν, ὅπερ οὐκ ἀληθές. Οὐ γὰρ πάντα
Fol. 109, v°. δύναται· ἀμέλει οὐ δύναται ποιῆσαι μὴ γεγενῆσθαι[7] ποιητὴν τὸν Ὅμηρον, οὐδὲ τὸ Ἴλιον μὴ ἁλῶναι· οὐ μὴν οὐδὲ τὰ δύο διπλασιαζόμενα, τέτ[αρα ὄντα τῷ ἀριθμῷ, ἀριθμεῖσθαι ποιήσειεν ἑκατὸν, κἂν αὐτῷ δοκῇ[8] τοῦτο. Ἀλλ' οὐδὲ κακὸς ὁ Θεὸς, εἰ καὶ θέλει, δύναται γενέσθαι ποτὲ, ἀλλ' οὐδὲ ἀγαθὸς ὢν τὴν φύσιν ἁμαρτῆσαι δύναιτ' ἄν· εἰ οὖν ἁμαρτάνειν οὐκ ἐσ[ιν οἷός τε οὐδὲ κακὸς γενέσθαι, τοῦτο οὐ δι' ἀσθένειαν τῷ Θεῷ συμβαίνει· οἱ γὰρ ἔχοντες ἐκ φύσεως παρασκευὴν καὶ ἐπιτηδειότητα πρός τι, εἶτα κωλυόμενοι τοῦτο ποιεῖν, ὑπὸ

[1] γὰρ prius omissum, add. in marg. pr. manus. — [2] ἀναλύσει. — [3] διαφθεῖραι. — [4] κατασκευασμένα. — [5] ἄλλογον cod. ut videtur. — [6] ἐθοινίσαντο. — [7] γεγενεῖσθαι. — [8] δοκεῖ.

ἀσθενείας δηλαδὴ κωλύονται· ὁ δὲ Θεὸς ἀγαθὸς εἶναι πέφυκε καὶ οὐ κωλύεται κακὸς εἶναι· ὅμως καὶ μὴ κωλυόμενος, γενέσθαι κακὸς ἀδυνατεῖ.

Σκέψασθε δὲ κἀκεῖνο πηλίκον ἐστὶν ἄλογον εἰ μὲν ὁ[1] δημιουργὸς τὸν μὲν οὐρανὸν, οὗ μηδέν τις ἐνενόησε κάλλος θεσπεσιώτερον, περιόψεται τηκόμενον καὶ ἄστρα πίπτοντα καὶ γῆν ἀπολλυμένην, τὰ δὲ σεσηπότα καὶ διεφθαρμένα τῶν ἀνθρώπων ἀνασῴσει σώματα, σπουδαίων ἕνια, καὶ ἄλλα πρὸ τοῦ ἀποθανεῖν ἀτερπῆ καὶ ἀσύμμετρα καὶ ἀηδεστάτην ὄψιν ἔχοντα. Εἰ δὲ καὶ ῥᾴδιον ἀνασῶσαι δύναται σὺν κόσμῳ πρέποντι, ἀδύνατον χωρῆσαι τὴν γῆν τοὺς ἀπὸ γενέσεως τοῦ κόσμου τελευτήσαντας, εἰ ἀνασῴζειν.

[1] εἰ ὁ μὲν.

CAPUT XXV.

Solutio de dicto : Sed abluti estis, sed sanctificati estis. (I Cor. VI, 12.)

CHRISTIANUS.

Τοσαύτην ὁ Ἕλλην δεινότητος εἴσφρησιν ἐμβαλὼν τοῖς ζητήμασιν κλονεῖν ἔδοξεν ἡμᾶς κἀν τῷ τῆς ἀμηχανίας βεβληκέναι θορύβῳ· ἡμεῖς δὲ κρυφῇ τὸν ἀποκαλύπλοντα βαθέα ἐκ σκότους καὶ φανοτάτην τὸν ἄνθρωπον γνῶσιν ἐκδιδάσκοντα λιπαρῶς ἱκετεύσαντες, πρὸς ἕκασλον τῶν εἰρημένων καιρίως ἀπηντήσαμεν[1], φάσκοντες τῷ λογάδι, ὡς μεγάλα μέν σου καὶ λίαν ἀσαφῆ τυγχάνει
Fol. 110. r°. τὰ τῶν προτάσεων· σαφεσλέραν δὲ τούτων λάμβανε τὴν ἀπόκρισιν, τοῦ Χρισλοῦ ταύτην δι' ἡμῶν σοι τὴν ἑρμηνείαν ἐπάγοντος· ἄκουε δ' οὖν τὸ πρῶτον ἐν πρώτοις κεφάλαιον καὶ τὸ δεύτερον δευτέρᾳ τῇ λέξει λεγόμενον, εἶτα τὸ τρίτον ὁμοίως καὶ τὸ τέταρτον <καὶ τὸ πέμπλον>, αὖθις τὸ ἕκτον σὺν <τῷ> ἑβδόμῳ ζητήματι.

Λεκτέον οὖν ἐν ἀρχῇ τοῦ Ἀποσλόλου τὸν λόγον φάσκοντος· «Καὶ ταῦτα τίνες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρισλοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.» Ἐντεῦθεν γοῦν ἡμῖν τῆς ὑποθέσεως ἔσλαι τὸ προοίμιον. Φιλεῖ τὸ γενητὸν παρὰ τῆς ἀγενήτου Φύσεως πλημμελοῦν πολλάκις οἰκτείρεσθαι δωρεὰν καὶ τῇ χάριτι σώζεσθαι καὶ τῶν ἁμαρτημάτων ἐκλύειν τὸ ὄφλημα· ἐπεὶ καί τις[2] ἐργάτης κακίας[3] γενόμενος καὶ νομικῇ τοῦ δικασλοῦ ψήφῳ τιμωρούμενος ἐκ μόνης <τῆς> βασιλικῆς φιλανθρωπίας σώζεται, δεηθεὶς μόνον καὶ δυσωπήσας ἅπαξ. Οὐ γὰρ ὁ νόμος, ἵνα σώσῃ καὶ τὸ δίκαιον, ἰσχυρῶς ἐβασάνισε, τοῦτον ὁ βασιλεὺς κύριος ὢν τοῦ νόμου οἰκτείρας ἠλέησεν, οὐ τὸ δίκαιον προνείμας τῷ πράγματι, ἀλλὰ τὸ δυνατὸν ὡς δεσπότης ἐκ συμπαθείας κυρώσας καὶ τὴν μὲν ἀδικίαν οὐκ ἐν τῷ κολάζειν ἀλλ' ἐν τῷ σώζειν τὸν ἀνάξιον διορθούμενος. Πολλοὶ γοῦν τὴν μὲν ἐπὶ θανάτῳ ψῆφον ἐκ τῶν νόμων λαβόντες βασιλεῖ προσφυγόντες τὴν μὲν ἀπόφασιν τῶν νόμων ἠκύρωσαν[4], τὴν δὲ τοῦ βασιλέως ἐπικρατεσλέραν τῶν ἔργων φιλανθρωπίαν ἀπέδειξαν. Ἐν τούτῳ γὰρ τῆς δεσποτικῆς ἐξουσίας σώζεται τὸ ἐπάγγελμα, ἐν τῷ συγχωρεῖσθαι φιλοτίμως τῷ δούλῳ τὸ ὄφλημα <καὶ> ἐν τῷ τὸν ὑπεύθυνον τῇ δωρεᾷ λαμπρύνεσθαι. Ὅσα δὲ τῶν

[1] ἐπηντήσαμεν. — [2] της. — [3] ἐργάτης κακίας in marg. incerta, ut vid., manus. — [4] λάβοντες— ηκύ in marg. add. pr. manus.

πραγμάτων, καθὼς ὀφείλει, δικάζεται, οὐδὲν μὲν ἐκ τοῦ δικάζοντος λαμβάνει τὸ ὄφελος, οἰκείῳ δὲ τῆς ὑποθέσεως δοκιμάζεται. Εἰ γοῦν μηδὲν ἐκ χάριτος ἡ
Fol. 110. v°. πηγὴ τῆς χάριτος τοῖς ἀνθρώποις ὀρέξειεν, πάντα δ' ἐν τῷ κανόνι τοῦ νόμου δικάσειεν, οὐκ ἔσται χάρις λοιπὸν, ἀλλ' ἐπιτηδευμάτων καὶ πραγμάτων δοκιμασία. Καὶ πῶς ἡμῖν μηδὲν ἄξιον φωτὸς ἐργασαμένοις δωρεὰν ὁ δημιουργὸς τὸ φῶς ἐχορήγησε; πῶς γεννηθεῖσιν ηὐτρέπισε δίαιταν, μηδέπω τῆς διαίτης τὸν λόγον αἰσθομένοις; Εἰ γὰρ πᾶν ὃ δίδωσιν ὁ Θεὸς δῶρον καὶ χάρις ἐστὶ, καὶ μηδὲν προσλαβὼν παρὰ τῶν γενητῶν πλουτίζει τὰ γενητὰ, εὐλόγως καὶ τοὺς ἁμαρτήσαντας ἐλευθεροῖ τοῦ πλαίσματος, ὡς πατὴρ υἱοὺς οἰκτείρων ἀγνώμονας. Ἀλλ' οὐδὲ[1] δίκαιον τῶν κτισμάτων φύσιν ἐξ οἰκείας ἀρετῆς κεκτῆσθαι φαιδρότητα, ἐπεὶ τῆς ἀγαθότητος τὸ κάλλος ἐκρύπτετο καὶ τοῦ κτίσαντος ἀφανὲς ἐτύγχανε τὸ φιλότιμον. Εἰ γὰρ μὴ τὸ πᾶν[2] ἐκλάμψει τοῦ κρείττονος τὴν ζωὴν ἐκληρώσατο καὶ τὸ μὴ ὂν ἐκ τοῦ ὄντος τὴν ὕπαρξιν ἔλαβε, δόσιν ἐκ χάριτος ἔχον, οὐκ ἀνταπόδοσιν παλαιὰν, ἕκαστα τῶν φανέντων ἦν ἀφανῆ καὶ τὴν λάμπουσαν οὐκ εἶχεν εὐπρέπειαν· νῦν δὲ τὴν δωρεὰν ὡς ἔχει τοῦ κρείττονος, λάμπει τὸ κάλλος καὶ δεικνύει τὸ χάρισμα.

Εἰ δέ σοι φίλον, ἄνωθεν τῆς νῦν ὑποθέσεως τὸ πρᾶγμα σκοπήσωμεν, καὶ τῶν ἁμαρτανόντων καὶ μὴ ἁμαρτανόντων τὸν λόγον γυμνάσωμεν, ὡς ὁ[3] μὲν νόμος ἐξουσίαν οὐκ ἔχει σώζειν τοὺς πλημμελήσαντας, ὁ δὲ τὸν νόμον θέμενος, ἅτε δεσπότης τοῦ νόμου τυγχάνων καὶ κύριος, ἐλευθεροῖ τοῦ πλαίσματος. Τοῦτο γὰρ καὶ τῆς ἀληθείας κεκράγασιν οἱ θεσμοὶ καὶ τῶν πραγμάτων ἡ φύσις παιδεύει φιλαλήθως, τὸ[4] μηδὲ τὸν νόμον εἰς τὴν δεσποτικὴν ἀναβαίνειν
Fol 111. r°. ἀξίαν καὶ τοῖς ἀδικοῦσιν ἐξ αὐθεντίας συγχωρεῖν τὸ ἁμάρτημα καὶ προτείνειν τοῖς ἀξίοις τὴν δεσποτικὴν χάριν, μηδὲ τὸν ἡγεμόνα τοῦ νόμου καὶ κύριον εἰς τὴν νομικὴν καταβαίνειν εὐτέλειαν καὶ τῶν ἁμαρτημάτων λεπτότητι κρίσεως ποιεῖσθαι τὴν ἔννοιαν[5], μικρολόγῳ σχήματι πενίαν ὑποκρινόμενον, καὶ τῆς μὲν αὐθεντίας ἀποκρύπτειν τὸ δώρημα, τῆς δ' ἀκριβολογίας ἐμφανίζειν τὸ πρόσχημα καὶ δικάζειν ὁμοίως τῷ νόμῳ τοὺς ἁλόντας καὶ τὸ δίκαιον ἑκάστῳ κατὰ τοὔργον ἐπάγειν· ἀλλὰ πρέπον τῷ παντὶ καὶ τοῖς ἄλλοις θεσπέσιον τὸν μὲν Κύριον, ὡς Κύριον, συγχωρεῖν τὸ ἁμάρτημα, τὸν δὲ νόμον, ὡς νόμον, τιμωρεῖν τὸ πλημμέλημα, ἵνα καὶ τῆς ἐξουσίας ἡ χάρις ἀρίδηλος καὶ τοῦ δουλεύοντος τῇ ἐξουσίᾳ φανερὸν τὸ κατόρθωμα, καὶ μὴ τῶν ἑκατέρων ἡ τάξις ὑβρίζηται μίαν ἐκ συγχύσεως[6] τὴν ψῆφον ἐκβάλλουσα· ἀλλὰ τὸ μὲν ὡς δοῦλον καὶ κάμνον ὀφθήσεται, τὸ δ' ὡς κύριον καὶ πλοῦτον ἐλευθερίας ἔχον.

[1] οὔτε. — [2] τὸ μὴ πᾶν. — [3] ὁ in marg. — [4] τοῦ. — [5] εὔνοιαν. — [6] συγχήσεως.

Ἔστι γοῦν τοῦτο μαθεῖν ἐξ εἰκόνος ἀληθοῦς καὶ πολλοῦ παραδείγματος· χθὲς γὰρ, οὐ πρὸ πολλοῦ καὶ πρώην, οὐ πρὸ χρόνου, τινὲς ἀπηγορευμένοις ἐνεχόμενοι πράγμασιν καὶ μέλλοντες ἱκανῇ τιμωρίᾳ κολάζεσθαι, βασιλικὴν πρόοδον ὑποκύψαντες καὶ τὴν ἀρχὴν διαιωνίζειν λιπαρῶς ἐναρξάμενοι πάσης ἀφέθησαν ἐγκλημάτων ὑποβολῆς καὶ τὴν δικαστικὴν κατόπιν ἀπόφασιν ἔρριψαν. Ἄλλοι δὲ, μώμου παντὸς καὶ κηλῖδος ἐλεύθεροι, ἀδικήματος κοινοῦ καὶ
Fol. 111, v°. κλοπῆς ἀμέτοχοι, μηδὲ μέχρι σχήματος τὸν βασιλέα στέψαντες, ὡς ἀκαθοσίωτοι καὶ λίαν ἀχάριστοι, φρικωδεστάτην παραυτὰ τῆς ἀπωλείας τὴν κόλασιν ἔλαβον, οὐδὲν ἐκ τοῦ ζῆν ἀνεγκλήτως ὀνήσαντες οὐδ' ἐκ τοῦ καθαρεύειν ἐγκλημάτων κερδίσαντες[1]· τοὐναντίον δ' ἐξ ἔργων, ὡς ἐδοκίμαζον, εὐαγῶν ἐπαρθέντες, ὡς ἐξ ἐπιτριβῆς οἰκείας ἀπώλοντο. Οἱ δ' ἐν μετρίῳ φανέντες τῷ σχήματι, κακῶν μὲν ἐργάται μυρίων καὶ πράκτορες, ἀθεμίτων δὲ γέμοντες τῶν ἐπιτηδευμάτων, πιστεύσαντες ὡς εὐχερὲς τοὺς ἀπεγνωσμένους διασώζειν τῷ βασιλεῖ, οἰκτρῷ μὲν τῷ βλέμματι, ἐλεεινῷ δὲ τῷ σχήματι προσελθόντες ἐσώθησαν, μηδὲν ἐξ ὧν ἔδρασαν Φαύλων ζημιωθέντες. Ἑκατέροις γὰρ, οἰκείᾳ γνώμῃ, ζωῆς καὶ θανάτου παραίτιος γέγονε· τοῖς μὲν γὰρ ὁ βασιλεὺς τὴν σωτηρίαν μνώμενος ἐβοήθησε, τοῖς δὲ ἄξια τῆς ἀλαζονείας ἔδωκε τὰ ἐπίχειρα. Εἴ γε οὖν ἡ πίστις τῶν ἀδικημάτων ἐστὶν ἐπικρατεστέρα, ἡ δ' ἀπιστία τῶν ἀνεγκλήτων ζημία τις ἔνδικος, τί τὸν Ἀπόστολον λέγοντα μεμπτέον ὧδε ταῦτα; Ὅρα γὰρ τί φησιν· « Ἀλλὰ ταῦτα τινες ἦτε; » καὶ τῶν νομικῶν ψήφων ὑπεύθυνοι καὶ δοῦλοι καὶ τιμωρίας εἴχετε βάσανον ἀπαραίτητον[2], « ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν. »

Εἰ γὰρ ἐθέλεις τὴν δύναμιν τῶν εἰρημένων γνῶναι τῆς ἀκριβείας, ἔσται
Fol. 112, r°. σοι τρανὸν τὸ διήγημα· οὐ γὰρ ἁπλῶς Ἐλούσασθε λέγει ἢ Ἐδικαιώθητε, ἀλλ' Ἐν τῷ ὀνόματι τοῦ Κυρίου φησίν. Ὡς γὰρ οἱ χαρακτῆρες τῶν γραμμάτων τότε δυνατοὶ τῷ παντὶ καὶ ἐπιφανεῖς, ὅταν ὑπὸ βασιλικῆς χειρὸς καταγραφῶσιν, ἱκανοὶ μὲν ἐλευθερῶσαι τὸν διαβεβλημένον, ἱκανοὶ δὲ νικῆσαι φαλάγγων στρατόπεδα καὶ τὴν ὑπήκοον ὅλην γεμίσαι παρρησίας, ὑπ' ἰδιωτικῆς δὲ χειρὸς χαρατλόμενοι τὸν μὲν αὐτὸν τύπον τοῦ σχήματος ἔχουσιν, οὐ τὴν αὐτὴν δὲ τῆς ἰσχύος ἐνέργειαν, οὕτω τὸ ὕδωρ ὑπὸ μὲν τοῦ ὀνόματος τοῦ Χριστοῦ σημειούμενον δυνατὸν καὶ τονωτικὸν ἰσχυρῶς καὶ τοῖς πᾶσιν ἐπαρκοῦν εἰς κάθαρσιν, ἱκανὸν ἀπολοῦσαι τὸν τῆς κακίας σπῖλον, ταχινὸν σμῆξαι πονηρίας ῥυτίδα. Ἡ γὰρ ὀνομασία τοῦ Σωτῆρος Ἰησοῦ ἐπὶ τῷ ὕδατι γενομένη μυστικῶς

[1] κερδήσαντες. — [2] In marg. comp. σημείωσαι.

οὐκέτι κοινὸν ὕδωρ, ἀλλ' ἀφωρισμένον ποιεῖ καὶ ἀπόρρητον δυνάμενον ἀποπλῦναι οὐ μόνον τὴν ἐπιφάνειαν τοῦ φαινομένου σώματος ἀλλὰ καὶ τοῦ συνειδότος αὐτὸ τὸ ἀπόκρυφον καὶ καθάπερ στρατόπεδον ὁπλίσαι τοὺς λογισμοὺς καὶ πληρῶσαι ζωῆς τὸν λουσάμενον ἐν αὐτῷ, ὡς μὴ δεδοικέναι μηκέτι τοῦ νόμου τὴν ἀπειλὴν, ἣν κατὰ τῶν ὑπευθύνων ἄνωθεν ἐπεκρέμασεν[1], εἰς αὐτὸν τὸν δεσπότην τοῦ νόμου καταφυγόντα[2] καὶ παρ' αὐτοῦ τῆς χάριτος πανοπλίαν λαβόντα[3] καὶ τῶν παθῶν δυνάμενον[4] κεντῆσαι τὴν φάλαγγα. Ἴδε γοῦν εἰρμὸν καὶ τάξιν ἀκόλουθον, ἴδε τὴν ἀποστολικὴν διδασκαλίαν ἀστράπτουσαν. Οὐ λέγει πρῶτον Ἡγιάσθητε, ἀλλὰ πρῶτον Ἀπελούσασθε· πρῶτον γάρ τις λούεται,
Fol. 112, v°. εἶτα καθαρίζεται, τουτέστιν ἁγιάζεται. Ὡς γὰρ ὕδατι τὸ νίτρον ἐμβληθὲν ἀποσμήχει τὸν ῥύπον, οὕτω τὸ ὄνομα τοῦ Χριστοῦ συμπλακὲν τοῖς ὕδασι τὸν εἰς αὐτὰ κατελθόντα καθαίρει τοῦ σώματος καὶ δεικνύει λαμπρὸν ἀστραπῇ τῆς χάριτος· εἶτα μετὰ τὸν ἁγιασμὸν ἀποτελεῖ δίκαιον, πάσης ἀδίκου πράξεως ἐκδυθείσης.

Ταῦτα δ' οὐκ ἄλλως ὑπάρξαι λέγει τοῖς σωζομένοις ἀλλ' ἐν τῷ ὀνόματι τοῦ Κυρίου καὶ τοῦ Πνεύματος τοῦ Θεοῦ· θεσπεσίως καὶ πάνυ πρεπόντως ἐδογμάτισε τὴν χάριν ἐκ τῆς Τριάδος χορηγεῖσθαι τοῖς πιστοῖς, εἰπὼν ἐν ὀνόματι Κυρίου καὶ Πνεύματος, καὶ οὐχ ἁπλῶς Πνεύματος, ἀλλὰ Θεοῦ Πνεύματος, μίαν ὀνομάζων τῶν τριῶν τὴν θεότητα, φάσκων οὐκ ἐν ὀνόμασιν ἀλλ' ἐν ὀνόματι· ἓν γὰρ ὄνομα Θεοῦ κἀπὶ τῷ Υἱῷ καὶ τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι καὶ Θεὸς εἷς ἐν τρισὶν ὑποστάσεσίν ἐστι καὶ ὀνομάζεται, καὶ οὔτε Πατὴρ ἄνευ τοῦ Υἱοῦ λαμβάνει[5] τὸν πιστεύοντα, οὔτε ὁ Υἱὸς δίχα τοῦ Πνεύματός τινα προσάγει τῷ Πατρί. Ἰδοὺ γὰρ πῶς μυστικῶς εἶπεν· « Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε· » ὃν γὰρ ἔλουσεν ὁ Χριστὸς, τοῦτον ἡγίασε τὸ Πνεῦμα· ὃν δ' ἡγίασε τὸ Πνεῦμα, τοῦτον ἐδικαίωσεν ὁ Πατήρ· καὶ οὐχ ὅτι λούων ὁ Χριστὸς ἁγιάζειν οὐ δύναται[6], οὐδ' ἁγιάζον τὸ Πνεῦμα δικαιοῦν οὐκ ἰσχύει, οὐδ' ὁ Πατὴρ δικαιῶν ἀσθενεῖ τινα λούειν ἢ ἁγιάζειν ὃν βούλεται· ἱκανὸς γὰρ ὁμοίως καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα καὶ λούειν καὶ ἁγιάζειν καὶ δικαιοῦν[7] τὰ πάντα, ἀλλ' ὅτι πρέπει τὸν Υἱὸν, ὡς υἱὸν,
Fol. 113, r°. θετεῖν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἁγιάζειν, ὡς πνεῦμα, καὶ τὸν Πατέρα δικαιοῦν[8] τὸν ἁγιαζόμενον, ἵνα τριῶν ὑποστάσεων ἐν οὐσίᾳ μιᾷ γνωρισθῇ τὸ ὄνομα. Ταύτην γὰρ τὴν γνώμην ὁ Ἀπόστολος παιδευθεὶς ἐν τῷ Εὐαγγελίῳ, ἔνθα φησί
* Matth. xxviii, 19. « *Πορευθέντες μαθητεύσατε[9] πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, » ἐπὶ τοῦ λουτροῦ πα-

[1] ὑπεκρέμασεν. — [2] καταφυγὼν. — [3] λαβὼν. — [4] δυνάμενος. — [5] λαβάνει. — [6] In marg. comp. σημείωσαι. — [7] δικαιεῖν. — [8] δικαιοῦντα. — [9] μαθητεύσα.

ραλαμβάνει τὸ ὄνομα τῆς Τριάδος λέγων· « Ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν. »

Εἰ δέ τινες, ὡς φησ, τὴν δωρεὰν εἰς προτροπὴν ἁμαρτημάτων ἔλαβον καὶ τὸ χάρισμα καπηλεύοντες δι' αὐτοῦ τὰ τῆς κακίας ἐμπορεύονται πάθη, αἰσχίστων ἔργων ὕβριν ἐξωνούμενοι, οὐδὲν πρὸς τὸν δωροδότην· οὐ γὰρ καλῶν τὸν καλούμενον ἀσελγαίνειν προτρέπεται, ἐπεὶ μηδὲ φίλους εἰς συμπόσιόν ποτε δεξιούμενος πρὸς τὸ μεθύσκεσθαι τούτους ἐν ἀσωτίᾳ διδάσκει, τοὐναντίον δὲ νήφειν καὶ πάσης ἀπληστίας καθαρεύειν καὶ πλησμονῆς· ὡσαύτως εἰς οὐράνιον τράπεζαν καὶ κρατῆρα πνευματικὸν ἐκ φιλοτιμίας καλῶν τοὺς ἀνθρώπους ὁ Κύριος, οὐ πρὸς τὸ ἐμφορεῖσθαι τοῖς κακοῖς ὑποτίθεται, ἀλλὰ προετοιμάζεσθαι σώφρονι καταλαβεῖν τὴν χρῆσιν τῷ σχήματι, μὴ μὴν τὴν ἐλευθερίαν ἀφορμὴν δουλείας ἐργάσασθαι καὶ τὴν ἐπαγγελίαν τῆς εὐγενείας. Εἰ δὲ συμβῇ τινας καταφρονῆσαι τοῦ κλήτορος καὶ προσεμφορηθῆναι τῆς ἀταξίας τοῦ βίου,

Fol. 113, v°. ὁ μὲν διδοὺς τὸ δῶρον οὐ μεταγινώσκει ἐφ' οἷς ἐπηγγείλατο, ὁ δὲ λαβὼν κόρῳ κακῶς διαθέμενος ἑαυτὸν ἐζημίωσεν, οὐχὶ τὸν δωρησάμενον· πρόθεσις γὰρ αὐτῷ, μίαν πᾶσιν ἐφαπλῶσαι[1] τῆς εὐφροσύνης τὴν τράπεζαν καὶ μίαν τοὺς τρεφομένους τὴν ἕξιν ἐπάγεσθαι. Εἰ δέ τινες αὐθαιρέτῳ λογισμῷ βουκολούμενοι ὑβριστικῶς ἀπήντησαν, ἐβλάβησαν οὐ μετρίως, πέμψαι τὴν μετάληψιν τοῦ καλοῦ μὴ δυνάμενοι· πολλοὶ γοῦν, ὡς ἔφης, τοιούτῳ λογισμῷ τὸ πρᾶγμα σοφισάμενοι τῆς προκειμένης χάριτος ἀπεσφάλησαν, μέχρι γήρως τῆς κακίας ἑαυτοῖς τὸν πηλὸν ὑποπλάττοντες καὶ τῶν μυσαρῶν ἔργων τὴν ἀγωγὴν ζηλώσαντες, ἄπαξ τὸν σωρὸν τῶν κακῶν ἐπὶ τοῦ βαπτίσματος ἀποσυνάξαι νομίσαντες, αἰφνίδιον τῆς ἐπαράτου ζωῆς ἀπεσπάσθησαν, μηδὲ σημεῖον οἰκτρᾶς παραμυθίας ἐπὶ μετώπου βαστάσαντες, σκληρότητι πολλῆς γνώμης συναπολλύμενοι[2], κἂν τῷ πειράζειν τὸ δῶρον καὶ τὸ καλὸν ὑπερτίθεσθαι τὴν βλάβην ἑαυτοῖς ἀπηνέγκαντο. Ταῦτά σοι τοπάζω σαφῶς ἀποκεκρίσθαι τῆς ἀποστολικῆς ἕνεκεν διδασκαλίας τὰ ῥήματα.

[1] ὑφαπλῶσαι — [2] συναπολλόμενοι.

CAPUT XXVI.

Solutio de Monarchia [1].

Τὸ δὲ τῆς μοναρχίας ὧδέ σοι λοιπὸν διευκρινήσω σόφισμα καὶ τῶν Θεῶν καὶ τοῦ μόνου Θεοῦ τὸν λόγον βασανίσω· εἰ καὶ [2] τὰ μάλιστα ἐξ εἰκόνος ἡμῖν τὴν μοναρχίαν τοῦ Θεοῦ καὶ τῶν ἀρχομένων Θεῶν τὸν λόγον κρατύνειν ἐσπούδασας, ζητητέον εἰ [3] ἐκ τῆς ὁμωνυμίας ἡ τῶν πραγμάτων εἴωθε φύσις ἀποσώ-
Fol 114, r°. ζεσθαι· εὕρομεν γὰρ ὡς οὐκ ἐξ ὀνόματος [4] τὸ [5] πρᾶγμα, ἀλλ' ἐκ τοῦ πράγματος τὴν ἀλήθειαν τὸ ὄνομα κέκτηται [6], ὡς ἐπὶ τοῦ πυρὸς ὅτι θερμὸν καὶ ἐπὶ τοῦ πλησιάζοντος τῷ πυρί· ἀμφότερα γὰρ θερμά, καὶ οὐκ ἀμφότερα τὴν οὐσίαν ἔχει θερμήν· ἀλλὰ τὸ μὲν τῇ φύσει, τὸ δὲ τῇ θέσει θερμόν, καὶ τὸ μὲν ἐξ ἑαυτοῦ, τὸ δὲ οὐκ ἐξ ἑαυτοῦ [7] θερμόν· καὶ οὐ πάντως ἐκ τῆς ὁμωνυμίας μίαν ἡμῖν ὁ λόγος τὴν φύσιν ἐδήλωσεν. Οὕτως ὁ Ἀπόστολος, ἵνα τὴν ὄντως διδάξῃ θεότητα, καὶ τὴν οὐσίαν ἐκ τῆς ὁμωνυμίας διακρίνας ἐλέγξῃ, καὶ τὸν μὲν οὐσίᾳ [8] Θεὸν καὶ κυρίως Κύριον, τοὺς δὲ τῇ θέσει θεοὺς καὶ κυρίους [9] τῇ
[a] Cf. I Cor. VIII, 5-6. κλήσει μηνύσῃ τοῖς μαθηταῖς, φησι· « [a]Καὶ γὰρ εἴπερ εἰσὶ θεοί, ὥσπερ οὖν εἰσι, καὶ κύριοι πολλοί, ἀλλ' ἡμῖν εἷς Θεὸς, ἐξ οὗ τὰ πάντα καὶ εἷς Κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα. »

Ὁρᾷς ὅπως λέγει· « Καὶ γὰρ εἴπερ εἰσὶ θεοὶ » ἀντὶ τοῦ « τῇ κλήσει μόνον θεοὶ, οὐ μὴν κυρίως θεοὶ [10], » « ἀλλ' ἡμῖν εἷς Θεὸς » τουτέστιν ὁ [11] ὄντως Θεός. Ὁ [12] τῆς οὐσίας λόγος μαρτυρεῖ τῇ θεότητι, οὐ μὴν λέξις ὀνόματος βεβαιοῖ τὸ λεγόμενον, ἀλλ' ἡ φύσις τοῦ πράγματος κυροῖ τὴν ἀλήθειαν. Ἄρχει γοῦν [13] τῶν θεῶν καὶ δεσπόζει καὶ κρατεῖ, οὐχ ὡς εἷς αὐτῶν ὑπάρχων ἐκ τῆς ὁμωνυμίας, ἀλλὰ μόνος ἀγένητος ὢν καὶ δεσπόζων τῶν γενητῶν. Οἱ μὲν γὰρ ἐξ αὐτοῦ τὴν οὐσίαν [14] ἔλαβον, ὁ δὲ οὐ παρ' αὐτῶν τὰ πρεσβεῖα τῆς τιμῆς ἐπορίσατο· καὶ τῶν μὲν τὰς οὐσίας [15] αὐτὸς ἐδημιούργησεν, οἱ δ' ὑποστάσεως ἀρχὴν οὐ κατέλαβον ἐν αὐτῷ· καὶ ὁ μὲν ἐκείνους ὧν ἄρχει σώζειν οἶδεν, οἱ δ' οὐδὲν ἀρχόμενοι ἐκείνῳ χαρίζονται. Καλεῖσθαι δὲ πολλοὺς θεοὺς καὶ κυρίους

[1] Hujus capitis et duorum sequentium ut quæstionem, ita solutionem retulit Nicephorus in Antirrheticis, sed non uno tenore. Quæ fragmenta, vir clariss. D. Pitra, edidit in Spicilegio Solesmensi, t. I, p. 311 et sq.; cf. p. 552, 553. — [2] εἰς τὰ μάλιστα Nic. — [3] ζητητέον εἰκότως ἢ ἐκ τῆς Nic.; εἴ conjecit editor. — [4] ὀνομάτος. — [5] τὸ omisit Mac. — [6] κεκτῆσθαι Mac. — [7] τὸ δὲ ἐξ ἑτέρου Nic. — [8] κατ' οὐσίαν Nic. — [9] καὶ οὐ κυρίως Nic. — [10] οὐ μὴν κυρίως θεοὶ desunt in codice. — [11] ὁ deest. — [12] οὐ Nic. — [13] γοῦν δὴ Nic. — [14] σύστασιν Nic. — [15] τὴν οὐσίαν Nic.

οὐ φθονεῖ, μόνον εἰ πλησιάζοντες αὐτῷ καὶ γειτνιῶντες[1] τῷ τῆς θειότητος[2]
Fol. 114, v°. λόγῳ συγχρωτίζονται· εἰ δ' ἀπορραθυμήσωσι[3], καὶ πόρρω που γένωνται[4], ταὐτὸ πάσχουσι τοῖς ἀποσκιαφεῖσι τὴν ἀκτῖνα τοῦ φωτὸς κἂν τῇ σκιᾷ τοῦ σκότους ἐν ζόφῳ διάγουσι.

Πρᾶγμα γοῦν[5] ἀτύραννον ἐκεῖνο καὶ δίκαιον τὸ[6] τῶν ἀνομοίων ἄρχειν δι' οὐσίας ἀκρότητα· ὃς[7] γὰρ τῶν ἑτερογενῶν δι' ὑπερβολὴν κυριεύει φύσεως, οὐ βίᾳ τυραννίδος δεσπόζων ἐπιτάττει, ἀλλ' ἀγάπης σκληρότητι[8] ἡγεμονεύει φιλικῶς. Ἀδριανὸς δὲ[9] ἤ καί τις κοσμοκρατόρων ἕτερος, ἄνθρωπος ὢν καὶ τῶν ὁμοίων ἀνθρώπων βασιλεύσας, νόμῳ δυνασκείας τοῦτο καὶ τυραννίδος ἔπραξεν, οὐ θεσμῷ τῆς ἀκολουθίας τῶν ὁμοουσίων[10] ἄρξας, ἀλλ' ἀνάγκῃ καὶ βίᾳ τοὺς ὁμογενεῖς ἐδουλώσατο. Ἡδίκει δὲ[11] μεγάλα, τὰ μέρη τῆς οὐσίας, οὐ τὴν οὐσίαν ἐκτρύχων, καὶ τὸ εἶδος ἀδικῶν, οὐ τὸ γένος καταπονῶν· ἄνθρωπος γὰρ ἀνθρώπου, καθὸ μὲν ἄνθρωπος, δεσπόζειν οὐ δύναται· καθὸ δ' ἄρχων ἢ τύραννος προσλαβὼν ἐξουσίαν, δι' αὐτῆς τὸν ὁμόφυλον καταπονεῖ δουλούμενος. Ὅσα γοῦν ἐκ βίας τὴν φύσιν ἐτυράννησε, ταῦτα οὐκ ἐκ φύσεως τὴν [ἐξ]ουσίαν[12] ἐκτήσατο ἀλλ' ἐξ ὠμότητος ἐπικρατέσκερα τῶν ὁμοίων ἐφάνη. Θεὸς δὲ μόνος ἄρχων καὶ μοναρχίαν ἔχων κατὰ ἀλήθειαν κυριεύει τῶν γενητῶν, ὑπάρχων ἀγένητος, κρατεῖ τῶν κτισμάτων, ἄκτισκος ὢν καὶ ἄναρχος, οὐ τῶν ὁμοίων ἀλλὰ τῶν ἀνομοίων ἡγεμονεύει κηδόμενος. Ὡς γὰρ ἥλιος, οἷς ἐπιλάμπει, τούτους[13] λαμπρύνει τῇ μετουσίᾳ τοῦ φωτὸς, οὐ μὴν αὐτός ποτε πάρ' αὐτῶν
Fol. 115, r°. αὐγάζεται, οὕτω Θεὸς τοὺς ἐγγίζοντας αὐτῷ λόγῳ τῆς διανοίας ἁγιάζει[14] θεοποιῶν καὶ τὴν ἐξ αὐτοῦ δίδωσιν αὐτοῖς μακαριότητα· οὐ μὴν αὐτὸς ἐξ αὐτῶν τὸ τῆς ἀρετῆς λαμβάνει καλλώπισμα. Εἴ γε[15] οὖν ἥλιός τινα φωτίζων τοῖς φέγγεσι φωτεινὸν ποιεῖ λέγεσθαι ὥσπερ αὐτὸς λέγεται, τῆς μὲν[16] οἰκείας οὐσίας ἀφαιρέσεως λόγῳ τοῖς φωτιζομένοις οὐδὲν μεταδίδωσι, λαμπρὰ δ' οὐ κωλύει τὰ πάρ' αὐτοῦ καλεῖσθαι λαμπόμενα· αὐτὸς γὰρ ὢν[17] τὴν οὐσίαν λαμπρὸς τῇ θέσει λαμπρὰ καλεῖσθαι ποιεῖ τὰ λαμπόμενα. Τὸν αὐτὸν[18] τοίνυν τρόπον Θεὸς μονάρχης ὢν καὶ τὴν φύσιν ἀίδιος οὐ κωλύει θεοὺς καλεῖσθαι τοὺς Ἀγγέλους, θεοποιῶν αὐτοὺς τῇ θέσει τοῦ πράγματος, οὐ τὴν οἰκείαν εἰς αὐτοὺς ἀποτέμνων οὐσίαν οὐδὲ μέρος αὐτοῖς τῆς ἰδίας[19] δωρούμενος φύσεως.

[1] γειτνιάζοντες Nic. — [2] θεότητος hic et alias Nic. — [3] In codice nostro ut in Nicephori codice ἀποραθυμήσωσι; conjecit editor ἀπορραθυμήσωσιν. — [4] γένονται. — [5] οὖν Nic. — [6] δίκαιον τῶν Nic. — [7] ὁ Nic et Mac. — [8] σκληρότητι Mac. — σκληρότητος Nic. — [9] δὲ Nic. — [10] τοῦ ὁμοουσίου Mac. — [11] δὲ τὰ μέγαλα τὰ (addit. a sec. manu) Mac. — [12] οὐσίαν Mac. — ἀξίαν Nic. — [13] τούτοις Nic. — [14] αὐγάζει Mac. — [15] εἰ γοῦν Nic. — [16] ὥσπερ αὐτὸς λέγεται omis. Mac.; deinde καὶ τῆς; τῆς δὲ Nic. — [17] λάμπων ἐν αὐτοῖς ὢν γὰρ Mac. — [18] αὐτὸν omis. Mac. — [19] οἰκείας Mac.

Ὅθεν ὁ μὲν τὸν φύσει Θεὸν προσκυνῶν μακαρίζεται, ὁ δὲ τὸν τῇ θέσει, πολλὰ[1] διασφάλλεται ἐν τῷ σέβειν ἀβέβαιον καρπούμενος ὄφελος. Ὡς γὰρ[2] ὁ θέρμης ἕνεκεν τὸ πῦρ ἀσπαζόμενος καὶ θερμαίνεται παρ' αὐτοῦ καὶ τῷ φέγγει[3] λαμπρύνεται, ὁ δ' ὕλην ἐκ πυρὸς ἢ χαλκοῦ ἢ σιδήρου ζητῶν εἰς θερμασίαν[4] διαμαρτάνει τοῦ σκοποῦ· πρὸς ὀλίγον γὰρ ἡ ὕλη ψευσαμένη τὴν φύσιν εἰς[5] τὴν οἰκείαν τῆς οὐσίας λῆξιν ὑπαναχωρεῖ[6], μηδὲν τὸν ἔχοντα ταύτην ἐν θερμοῖς ὠφελήσασα μηδὲ σέλας αὐτῷ λαμπρὸν ἐπαρκέσασα, οὕτως ὁ βουλόμενος ἀρετῆς ἀκράτου λαβεῖν μακαριότητα, παρὰ τοῦ[7] Θεοῦ ταύτην τοῦ κατὰ φύσιν αἰτῶν οὐ σφάλλεται, παρὰ δ' Ἀγγέλου ἢ τινος ἀσωμάτου τάγματος ἀνωφελοῦς[8], θεοῦ τὴν θέσιν, οὐ τὴν φύσιν ὑπάρχοντος, ζημιοῦται μεγάλως,
Fol. 115, v°. λαβεῖν θέλων, ὅπερ δοὺς ὁ κτησάμενος γυμνητεύει[9] τῆς χάριτος. Θεὸς δὲ[10] πάντα τοῖς πᾶσι δωρούμενος ἔχει τὰ πάντα, τὴν πενίαν ἀρνούμενος· ὡς[11] ἥλιος χορηγῶν τὰ φέγγη τοῖς βλέπουσι καὶ τούτους εὐεργετεῖ καὶ τὸ φῶς οὐκ ἐκδύεται, ὡς διδάσκαλος μαθηταῖς διδοὺς τὰ μαθήματα καὶ τοὺς μαθητὰς σοφίζει καὶ τὴν σοφίαν ἔχει, οὕτω παρὰ τοῦ Χριστοῦ δύναμις ἐξήρχετο καὶ τῶν καμνόντων ἤλαυνε τὰ νοσήματα καὶ ἐν[12] τῷ Χριστῷ μένουσα ὅλως οὐκ ἐχωρίζετο. Πιθανῶς σοι καὶ ταύτην ὁ λόγος εἴρηκε τὴν ζήτησιν, τὴν περὶ Θεοῦ καὶ θεῶν καὶ τῆς μοναρχίας ἣν ἔχει ὁ μόνος ἀληθινὸς ἄρχων Θεός[13].

[1] πολλὰ omis. Mac. — [2] γὰρ omis. Mac. — [3] τῷ φέγγει omis. Mac. — [4] θερμότητα Nic. — [5] καὶ Mac. — [6] ὑποχωρεῖ Nic. — [7] τοῦ omis. Nic. — [8] καὶ ἀνωφεροῦς Mac.; ἀνωφεροῦς Nic. — [9] γυμνιτεύει uterque. — [10] ὁ Nic. — [11] ὁ Nic. — [12] ἐν omis. Nic. — [13] ἔχει μόνος ἄρχων Mac.

CAPUT XXVII.

Solutio de Angelis immortalibus et de Tabulis digito Dei scriptis.

Λοιπὸν περὶ τῶν Ἀγγέλων καὶ τῆς ἀφθαρσίας αὐτῶν σὺν τῷ μετρίῳ λέξομεν τὴν ὑπόθεσιν καὶ πῶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς Ἄγγελοι ἐν τοῖς οὐρανοῖς. Τὴν μακαριότητα δεῖξαι βουλόμενος ὁ Χριστὸς τῶν οἰκεῖν λαχόντων τὴν οὐράνιον χώραν καὶ ταλανίσαι τοὺς ἐν φθορᾷ τῆς γῆς βιοτεύοντας καὶ τὴν ὕπαρξιν ἐκ ῥυπαρᾶς τῶν σαρκῶν βλάστης ἀνειληφότας, γεννωμένους καὶ γεννῶντας καὶ δίκην φύλλων θᾶττον ἀπορρέοντάς, φησιν· « Οἱ καταξιωθέντες εἰς ἀνώλεθρον ζωῆς εἰσελθεῖν ἀνάκτορον λαμβάνουσιν ἀγωγὴν, ἣν ἔχουσιν Ἄγγελοι, ἀπαλλαγέντες μίξεως σωματικῆς καὶ κράσεως καὶ τελευτὴν μηκέτι μηδὲ γένεσιν ἔχοντες, συμπλοκῆς σωματικῆς[1] καὶ δεσμῶν χωριζόμενοι[2], ἢ ἵνα τις τῶν εὖ φρονούντων ἀκούσας ἐν οὐρανῷ λογικὴν οὐσίαν, τῷ τῆς ἀθανασίας λόγῳ πανηγυρίζουσαν, πρὸς μίμησιν αὐτῶν[3] τὸν βίον ῥυθμίσειε[4], καὶ τὴν ἐκείνων ἀξίαν τοῖς ἔργοις ζηλώσειε[5],
Fol. 116, r°.
γάμων ἀπεχόμενος καὶ τὰ τῆς φθορᾶς δραπετεύων σύμβολα, καὶ τέλος παρελθὼν τοῦ θανάτου τὴν θύραν, εἰς μακάρων αὐλὴν, τουτέστι τῶν Ἀγγέλων, ἀνέλθῃ κουφιζόμενος. Οὐ μὴν εἰκόνας ἐκείνων τυπώσας τῷ σχήματι, ὡς φὴς αὐτὸς, φθέγγεται τῇ σκιᾷ καὶ τῷ φάσματι τέρπεται, ἀψύχοις ὕλαις ὡς ἐμψύχοις ἐνομιλῶν, νεκραῖς[6] χαρακτήρων ὄψεσιν εὐωχούμενος, ἀφώνῳ πλάσματι προσάγων τὴν ἔντευξιν, λίθῳ καὶ ξύλῳ φωλεύειν τὸ θεῖον νομοθετῶν, χαλκῷ καὶ σιδήρῳ κρατεῖσθαι τὴν ἀκράτητον ὕλην[7] φανταζόμενος, θηρᾶν τὸ ἀθήρατον[8] ἐν θεωρίᾳ νεκρᾷ ἀλόγως ὑποτυπῶν[9].

Εἰ γὰρ καὶ τὰ μάλιστα ἐν ἀνδρικῷ[10] σχήματι Ἄγγελοί ποτ' ἐφάνησαν, ἀλλ' οὐ τὸ φανὲν ἦσαν, ἀλλ' ὅπερ ἦσαν, ἀόρατον[11]· εἰ δέ τις ἢ γράφει ἢ χαλκεύει τῷ σχήματι, οὐκ ἐκεῖνο ποιεῖ ὅπερ ἐστὶν ἀληθῶς, οὐδὲ τὴν φύσιν ἐγκλείει· κἂν ἐκπονῇ[12] τῷ γράμματι, μάτην ἐκτρύχεται πολλὰ δαμαζόμενος, ἐν θίξει θέλων λαβεῖν τὸν τὴν θίξιν ἀρνούμενον. Κἂν γὰρ δάκτυλον Θεοῦ ἱστορῇ[13] που θεῖος λόγος καὶ πλάκας ὑπ' αὐτοῦ κεχαράχθαι μηνύει καὶ πόδας ἢ κεφαλὴν ἢ γλῶτταν ἢ ἀκοὴν, οὐκ εἰς μέλη τὸν Κύριον[14] κερματίζων ἐφθέγξατο, ἀλλὰ τὴν ἀθέατον εἰς θεώμενον εἶδος οὐσίαν ἔρχεσθαι συμπαθῶς ἐξε-

[1] καὶ κράσεως — σωματικῆς omis. Mac. — [2] In textu χαριζόμενοι; in marg. χωριζόμενοι ἴσως sec. manus; χωριζόμενοι Nic. — [3] αὐτῷ Mac. — [4] ῥυθμίσειε Mac. — [5] καὶ τὴν — ζηλώσειε omis. Mac. — [6] νεκρῶν Nic. — [7] ἀκήρατον λῆξιν Mac. — [8] ἀθέατον Nic. — [9] ὑποτοπῶν Mac. — [10] ἀνδρείῳ Nic. — [11] ἐστὶν Nic. — [12] ἐκπονεῖ. — [13] ἱστορεῖ. — [14] Χριστὸν.

παίδευσε, καταλληλον ὄψιν τῇ ἀσθενείᾳ τοῦ κόσμου μυστικῶς ἀναπλάττουσαν, ἵν' ἄνθρωπος τῆς οἰκείας συνθήκης ὁρῶν ὁμοίωμα ἐν ὁπλασίᾳ θείᾳ μὴ ταραχθῇ τοὺς χρησμοὺς τῶν μελλόντων δεχόμενος, συγκραθῇ δὲ τῷ φανέντι τῇ
Fol. 116, v°. συγγενείᾳ τῆς ὄψεως, ἵν' ἐκ συμμέτρου θέας τῶν ἀπορρήτων χωρήσῃ μυστηρίων τὴν τελετήν. Ὅθεν εὐλόγως ἐν πάσῃ διαλέκτῳ μυστικῇ, οἰκονομίας ἕνεκεν τῶν ὠφελουμένων, ἑκατέρας τὰς φύσεις τὸ θεῖον ὑποκρίνεται, μηδὲν χραινόμενον κἂν ἐν φυτῷ δειχθήσεται· ἐπεὶ μὴ δύναται τὰ γενητὰ γυμνὸν ἰδεῖν τὸ ἀγένητον, μηδὲ τὰ σωματικὰ χωρεῖν τὸ ἀσώματον, μηδὲ τὰ σύνθετα λαβεῖν τὸ ἀσύνθετον· οὐδὲ γὰρ ἐν ὕπνῳ τις θεασάμενος λέοντα ἢ σῦλον ἢ ποταμὸν, κατὰ ἀλήθειαν εἶδε ποταμὸν <ἢ στύλον> ἢ λέοντα, ἀλλὰ φαντασίᾳ ὄψεως ἀνυπόστατον ὄνειρον ἐξετάσει τῆς ἐπιστήμης κρινόμενον. Οὕτω τις ἐπὶ Θεοῦ πόδας ἀκούων ἢ χεῖρας ἢ δακτύλους ἢ γλῶτταν ἢ ἀκοὴν, πεπαιδευμένος ὢν καὶ συνιὼν τὸ θεῖον θεοπρεπῶς, οὐ πόδας σωματικοὺς ἢ χεῖρας δικάσειεν, ἀλλὰ πραγμάτων ὄψιν ἐν φαντασίᾳ κειμένην.

Οὕτω ποτὲ τῷ Ἀβραὰμ ἐφάνησαν Ἄγγελοι, ἀνθρώπων εἶδος ἐν θέᾳ δεικνύοντες[1], οὐκ ἄνθρωποι δὲ τὴν φύσιν, τῶν ἀσωμάτων τὸν λόγον ἀποσώζοντες· καὶ τὸ μὲν πραχθὲν ὑπ' αὐτῶν ἀνθρώπινον ἦν καὶ τὴν ἀνθρωπείαν φύσιν οὐ ψευδόμενον· οἱ δὲ πράττοντες ἦσαν κατὰ ἀλήθειαν Ἄγγελοι, τὴν οἰκείαν τῷ πράγματι φύσιν οὐ συγκεράσαντες, ἀλλὰ τὴν μὲν ὄψιν πρὸς τὴν οἰκείαν τοῦ Ἀβραὰμ θέαν συνεχρώτισαν, τὴν δὲ βρῶσιν καὶ πόσιν οὐχ ὁμοίως τῷ Ἀβραὰμ λαβόντες ἀνήλωσαν, ἀλλὰ πυρὸς δίκην τὴν παρατεθεῖσαν αὐτοῖς δαπανήσαν-
Fol. 117, r°. τες οὐδὲ κόρον ἐξ αὐτῆς ὡς οἱ πεινῶντες ἔλαβον οὐδ' εἰς σκύβαλον, ὡς φιλεῖ, περιττὸν ἐξέρριψαν· ἑκάτερον δὲ πράττουσιν, ἑκατέρῳ συγκείμενοι· φανέντες γὰρ ἄνθρωποι τὸ τῶν ἀνθρώπων σώζουσιν ἰδίωμα, ἵνα μὴ τὸν δίκαιον τὰ μεγάλα λυπήσωσι, φαγεῖν ἀρνησάμενοι, ἀσυναλλακτον τὴν οἰκείαν πρὸς αὐτὸν φύσιν[2] ἐκδιδάσκοντες· ἵνα δὲ μὴ[3] πάλιν εἰς τὴν ἀνθρωπείαν φύσιν ὠλισθηκέναι δόξωσι, φυλάττουσιν ἀκριβῶς τὸν ὅρον τῆς λήξεως καὶ λαβόντες τὸ σιτίον ὡς ἄνθρωποι παρὰ τοῦ Ἀβραὰμ, ὡς Ἄγγελοι τοῦτο φαγόντες ἀνάλωσαν, οὐ σωματικῇ γεύσει τὸν λαιμὸν γλυκαινόμενοι, ἀλλ' ἀσωμάτῳ θίξει τὴν τροφὴν ἀναλώσαντες· καὶ τούτων[4] γενομένων σαφῶς κατὰ ἀλήθειαν, τῶν ὀφθέντων Ἀβραὰμ οὐ τυποῖ τὴν ἐμφάνειαν, οὐδ' ἐμφερὲς ἄγαλμα ξέει, οὐ[5] γράφει τῷ πίνακι, ἐν αὐτοῖς βλέπειν τοὺς ξενισθέντας νομίζων[6], ἀλλ' ἐν τῷ τῆς ψυχῆς ἀποκρύφῳ ταμείῳ τὰς μνήμας αὐτῶν εἶχε καὶ μελετῶν ἠρύνετο.

[1] Cod. ἐν θέᾳ γενόμενοι δεικνύοντες, verbo γενόμενοι linea subducta a pr. manu. — [2] φύσιν add. sec. in marg. — [3] μηδὲ. — [4] τῶν Mac. τούτων Nic. — [5] ἢ Nic. — [6] Particulam hujus capitis καὶ τούτων — νομίζων Nicephorus attulit.

CAPUT XXVIII.

Solutio de incarnatione Verbi.

Εἰ[1] δέ σοι δοκεῖ πολὺ προφερέστερον ἐν ἀγάλματι τὸ θεῖον εὐδοκεῖσθαι[2] μᾶλλον οἰκεῖν, καὶ μὴ ἐν τῇ Μαρίᾳ διὰ τὸ ἐλάττωμα τῶν παθῶν σεσαρκῶσθαι, ἄκουε ἐντελέστερον τοῦ δόγματος τὸ μυστήριον· ὡς ὁ παναρκέστατος καὶ δημιουργὸς Λόγος, ἱκανὸς ὢν καὶ πολὺς καὶ παθῶν ἀλλότριος, οὐ δέδοικεν ὅσα παρ' ἡμῖν αἰσχύνης καθέστηκεν αἴτια. Ἐν τούτῳ γὰρ ἀπαθὴς, ἐν ᾧ μετὰ τοῦ πάσχοντος γεννηθεὶς οὐκ αἰσχύνεται, ἄχραντος ἐν τούτῳ, ἐν ᾧ τὸ κεχρῶσθαι
Fol. 117, v°. τῇ κακίᾳ οὐ δέχεται· σαρκοῦται τοίνυν ὁ Λόγος, οὐκ εἰς σαρκὸς νόσημα κατιὼν ἢ ἐλάττωμα, ἀλλ' εἰς οἰκείαν ἀφθαρσίαν ἄγων τὰ[3] τῆς σαρκός. Ὡς γὰρ εἰς ὑγρότητα καταβαίνων ἥλιος οὐχ ὑγρότητα δέχεται οὐδὲ πηλώδης εὑρίσκεται, τὴν δ' ὑγρότητα τοῦ πηλοῦ ξηραίνων σλεγανοῖ αὐτὸς ὅλως τὴν αὐγὴν οὐκ ἀποθολούμενος, οὕτως ὁ Θεὸς Λόγος, ὢν ἥλιος νοητὸς, εἰς σάρκα κατελθὼν, οὐδὲν μὲν ἐκ τῆς σαρκὸς ἀνιμᾶται νόσημα οὐδ' ἐν τοῖς πάθεσιν αὐτὸς[4] ἁλίσκεται νικηθεὶς <καὶ> ἐν τῷ τῆς κακίας πίπλων ἁρπασθήματι· τοὐναντίον δ' αὐτὴν ἐκ τῶν ὁλισθηρῶν πραγμάτων ἀναγαγὼν καὶ τῶν αὐτῆς συμφορῶν ἀνασπάσας εἰς θείαν ἕστησε λῆξιν μακαριότητος, θερμαίνων αὐτὴν κακῶς διαρρέουσαν καὶ λυομένην αὐτὴν ταῖς ἁμαρτίαις συγκρατῶν, ὥστ'[5] ἄμαχον αὐτὴν γενέσθαι καὶ ἀνάλωτον καὶ τῶν ἐλαττωμάτων νικῆσαι τὰς προσβολὰς, ὡς ἂν ἡ σὰρξ[6] καὶ τὴν οὐσίαν ἔχῃ καὶ τὴν διαβολὴν τῆς οὐσίας ἀρνήσηται καὶ τὸν ὅρον σώσῃ καὶ τὸν θρύβδον τοῦ ὅρου καταβάλῃ. Τούτου γὰρ ἕνεκεν, οὐκ ἐν ἄλλῳ τινὶ τὰ τῆς οἰκονομίας πληροῖ κατορθώματα ἀλλ' ἐν σαρκὶ, καὶ οὐκ ἀπολύτῳ σαρκὶ ἀλλ' ἀνθρωπείᾳ[7] σαρκὶ καὶ ταύτῃ παρθενικῇ, ἵνα δείξῃ ὡς ἀπὸ παρθένου γῆς ἐν ἀρχῇ λαβὼν τὴν σάρκα πεποίηκε, νοῦ καὶ λογισμῶν καὶ ψυχῆς οἰκητήριον, καὶ νῦν ἐκ παρθένου καὶ κόρης ναὸν ἑαυτῷ κατασκευάζει, χειρὸς ἀνθρωπίνης καὶ τέχνης μὴ δεηθείς. Τί γοῦν τιμιώτερον, χοῦς ἢ παρθένος; ἄνθρωπος ἢ πηλός; οἶμαι τὸν ἄνθρωπον πηλοῦ προφερέστερον καὶ τὴν παρθένον ὑπάρχειν
Fol. 118, r°. τιμιωτέραν χοός. Εἰ γοῦν Θεὸς χοῦν ἀπὸ γῆς λαβεῖν οὐκ αἰσχύνεται ἀλλ' ἔμπηλον ὕλην πλάττει[8] καὶ τορεύει τὸν ἄνθρωπον, πῶς ἐξ ἀνθρώπου λαβεῖν ἄνθρωπον ὑπερθήσεται; ἢ πῶς ἐκ παρθένου σάρκα Φορέσαι διασκέψεται; οὐ δίχα

[1] In marg. comp. σημείωσαι. — [2] εὐδυκεῖται. — [3] ἄγοντα. — [4] αὐτοῖς. — [5] ὡς. — [6] σὰρ : ξ add. rec. manus. — [7] ἀνθρωπία. — [8] πράττει.

δὲ πάσης βραδυνούσης ἀναβολῆς τοῦ τιμιωτέρου τῆς γῆς Φυράματος ἅψεται καὶ ΘεοΦόρον ἄγαλμα μονογενῶς ἐργάσεται, ἐν ᾧ κατοικήσας σαλεύει τὴν οἰκουμένην τῷ κάλλει τῆς ἀρετῆς, καὶ πᾶσιν ἐπασπράπλει τῇ χάριτι τῆς δωρεᾶς;

Εἰ[1] γὰρ ὁ παρ' ὑμῖν Προμηθεὺς λεγόμενος πλάττει τὸν ἄνθρωπον, μηδὲν ὅλως αἰδούμενος, Ζεὺς δὲ γυναῖκα ποιεῖ ἣν ἔζωσεν Ἀθηνᾶ, καὶ τὸν μῦθον ἐπαινεῖτε καὶ τὸ πρᾶγμα σεμνύνετε, οὐκ αἴσχος ὁρῶντες, οὐ πάθος λογιζόμενοι, οὐ κεκρυμμένων μορίων τὸν λόγον ἐξετάζοντες· πολὺ γὰρ αἰσχρότερον[2] (εἴ γ' ὄντως ἐστὶν αἰσχρόν[3]) τὸ πλάσαι μόρια καὶ καλύψαι τισὶν ἐπιβλήμασιν ἢ τὸ δι' αὐτῶν παρελθεῖν, οἰκονομίας χάριν καὶ λόγου λυσιτελοῦς. Ὁ γὰρ ποιῶν οἴκημα καὶ μένειν ἐν αὐτῷ πάλιν[4] διατρεπόμενος, κατήγορος ἑαυτοῦ καὶ κριτὴς ἀπαραίτητος, ὅτι δημιουργῶν μὲν αἰσχύνης[5] ἄξιον οὐδὲν ἐλογίσατο, μετὰ δὲ τὴν συμπλήρωσιν, διέβαλε τῶν ἰδίων πόνων τὸ κατόρθωμα, ἀνάξιον εἰς οἴκησιν κρίνων[6] τὸ Φιλοτέχνημα· οὕτω τὸ Θεῖον ποιοῦν τὸν ἄνθρωπον ἀδικοῦν ὀφθήσεται, εἴ γε αἰσχυνεῖται[7] κατοικεῖν ἐν αὐτῷ, εἰ λαβεῖν ἐξ αὐτοῦ τὸ μέρος ἀρνήσεται, ὅλην τῆς σπουδῆς αὐτοῦ τὴν τέχνην ἠκύρωσεν, ὅλην ἀθετήσας αὐ-
Fol. 118, v°. τοῦ τὴν σοΦίαν διέβαλεν, ὅτι ποιῶν τῆς ἰδίας δόξης ἀπεικόνισμα, τοῦτ' αἰσχρὸν[8] εἶναι ἐδίκασεν[9] ἐννοεῖν[10].

[1] Hic locus Εἰ γὰρ — λυσιτελοῦς in Nicephori Antirrheticis legitur. — [2] αἰσχιότερον Mac.; αἰσχιώτερον Nic. — [3] αἴσχιον uterque. — [4] πάλιν in marg. sec. manus. — [5] αἰσχύνης μὲν. — [6] κρίνον pr. manus; in κρίνων mutav. sec. — [7] αἰσχύνει τοῦ. — [8] αἴσχιον. — [9] δικάσας. — [10] ἐννοεῖν.

CAPUT XXIX.

Solutio de dicto : Deos non maledices.

Ὅθεν φοβηθῶμεν περὶ Θεοῦ τοιαύτην γνώμην ἀναδέξασθαι, φρίξωμεν πολυπραγμονεῖν τὸν νοῦν τοῦ ποιήσαντος, καὶ σάρκα μὲν φορέσαι τοῦτον ὁμολογήσωμεν, κατοικεῖν δ' ἐν ἀψύχοις καὶ ἀφώνοις ἀγάλμασι τοῦτον μὴ δικάσωμεν· μηδὲ[1] Θεοὺς καλέσωμεν τὰ στοιχεῖα τοῦ κόσμου, γῆν, ὕδωρ, πῦρ[2], ἀέρα, κἂν θέωσιν ἀστέρες καὶ τρέχωσιν ἄπειρα, τούτους μὴ θειάσωμεν[3]. Ὡς γὰρ τρέχοντας ἵππους οὐδεὶς ἐστεφάνωσεν ἀλλὰ τὸν ἐλατῆρα τούτων καὶ ἡνίοχον, οὕτως οὐκ ἄστροις ἀλλὰ Θεῷ τὸ σέβας γνησίως τηρήσωμεν, τῷ τούτους ἐξάψαντι· κἂν ἀγάλματα φωνῇ καὶ δοκῇ[4] διαλέγεσθαι, μηδὲ τούτοις τιμὴν <ἢ> ἀξίαν προπίωμεν, μηδ' ἂν λέγῃ Μωσῆς· « [a]Θεοὺς οὐ κακολογήσεις, » μὴ περὶ τούτων ἢ τούτους εἰρῆσθαι νομίσωμεν· ἐκεῖνοι γὰρ θεοί, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, ὥσπερ ἐκεῖνοι θερμοί, οὓς τὸ πῦρ ἐθέρμανε· Θεοῦ δὲ λόγος οὔτε λίθοις ποτὲ οὔτε ξύλοις ἐνήχησεν οὐδὲ τοῖς ἀναισθήτοις αἴσθησιν ἐχορήγησεν· ἄνθρωποι δὲ κενοφρονοῦντες[5] χρυσὸν χωνεύσαντες καὶ χαλκὸν διαπλάσαντες χρησμοὺς ἐξ αὐτῶν ὡς θεῶν[6] ἀπήτησαν, πηροὶ τὸ φρόνημα καὶ τυφλοὶ τὴν ἔννοιαν, μηδ' ἐκ τῆς ἀναισθησίας τῶν λιθίνων ξοάνων τὴν ψυχὴν δυσωπούμενοι καὶ κρίνοντες ἐκεῖνο καὶ καλῶς δοκιμάζοντες, ὡς οὐδὲ τιμῆς αἴσθησιν οὐδ' αὖ πάλιν ὕβρεως λαμβάνει τὸ ἄψυχον, οὐ τὸν εὐλογοῦντα τιμᾷ οὐδὲ τὸν κακολογοῦντα τιμωρίαις[7] ἀμύνεται. Μωσῆς οὖν οὐκ ἀναισθήτους λέγει κακολογεῖσθαι θεούς. Τί γὰρ τὸ ἀναίσθητον κακολογούμενον; παρὰ τίνος ποτὲ λυπηθήσεται[8]; τίς δ' οὕτως ἐνεὸς[9] καὶ φληναφος καὶ μωρὸς, κακολογεῖν ἐκεῖνο τὸ μὴ δυνάμενον δι' ὕλης νωθρότητα[10] τῆς κακολογίας τὴν ὕβριν διακρῖναι; Ὅθεν οὐδὲ θεοὶ οὐδ' αἴσθησιν ἔχοντες προπηλακισθήσονται[11], οὐδ' ἀμυνοῦνταί[12] τινα, νεκροὶ τὴν φύσιν ὄντες καὶ τὸν λόγον ἀκίνητοι.

[a] Exod. XXII, 28.

Εἰ δ' ὀνόματα θεῶν ἔχουσι καὶ ἐπίκλησιν, οὐ λυμαίνονται τὸ θεῖον, ὡς οὐδὲ κύνες ἀνθρώπων ὀνομασίᾳ τιμώμενοι· πολλοὶ γοῦν ἐξ εὐχερείας[13] τὰ θεῖα

[1] Hæc pars capitis μηδὲ θεοὺς usque ad finem exstat apud Nicephorum. — [2] πῦρ omis. Nic. — [3] θειάζωμεν Nic. — [4] δοκῇ omis. Mac. — [5] κενοφωνοῦντες Mac. — [6] τὸ θεῖον Nic. — [7] τιμωρίσας Mac. — [8] Μῶσης οὖν — λυπηθήσεται in cod. Mac. desunt. — [9] ἐννεὼς Mac. — [10] νεκρότητα ἐκ τῆς Nic. — [11] προπιλακισθήσονται. — [12] ἀμύνονται Nic.; ἀμυνοῦν pr. manus; ται add. sec. — [13] εὐχερίας Mac.

Fol. 119, r°.

τοῖς βεβήλοις ἐπέθηκαν[1] ὀνόματα, οὐδὲν ἐν τούτῳ τὸ θεῖον[2] λυπήσαντες, τὴν δὲ σφῶν ἀφροσύνην μόνον ἐφανέρωσαν. Εἰ γάρ τις Θεὸς μὲν λέγεται καὶ θεῖον οὐδὲν ἔχει, ὑβρίζει τὴν κλῆσιν καὶ διαβάλλει τοὔνομα, ἀπαραίτητον ἔγκλημα φέρων καὶ ἀδιόρθωτον. Μὴ οὖν νομίσῃς ἐν τούτῳ τὸν παντοκράτορα Θεὸν ἀνιᾶσθαι καὶ δυσφορεῖν, εἰ καὶ μέχρις ἑρπετῶν τινες τῶν ἀφρόνων τὸ θεῖον[2] κατέσυραν ὄνομα· αὐτοὶ γὰρ ἑαυτοὺς ἱκανῶς ἐζημίωσαν, τὴν πρώτην καὶ ἀνώλεθρον οὐσίαν καὶ ἀκήρατον ὕλαις ἀτίμοις ἐπάραντες ὄνομα. Ἀποχρώντως[3] σοι περὶ τῆς τερθρείας τῆς ἀβεβαίου τῶν θεῶν λελέχθωσαν οἱ λόγοι.

[1] ἐπῆραν Mac. — [2] τὰ θεῖα Mac. — [3] ἀποχρόντως Mac.

CAPUT XXX.

Solutio de resurrectione carnis.

Λοιπὸν[1] ἐρωτῶ συγκροτῆσαι τὸν νοῦν εἰς τὴν ἀφήγησιν τὴν μέλλουσαν περὶ τῆς ἀνασ|άσεως τῆς σαρκὸς ὧδε γίγνεσθαι. Καὶ μή μοι θορυβήσῃς ἢ τῶν ἐνταυθοῖ καθεζομένων μηδείς· ἤδη γὰρ ἔγνωκά τινας οὐ μικρῶς ἀηδίζεσθαι περὶ τῆς ἀνασ|άσεως φράζειν μέλλοντας ἡμᾶς. Ὅθεν ἐπειδὴ πολὺς ὁ λόγος καὶ πολλῆς δεῖται βασάνου, πολλὴν δεῖ καὶ τῶν παρόντων ὑπάρχειν τὴν εὔνοιαν[2]. 5

Fol. 119, v°. Τί γοῦν; ἐκ ποίας ὑμῖν[3] εἰκόνος ἢ ποίας πιθανότητος τὸν τῆς ἀνασ|άσεως ὑμῖν λόγον ἀπαγγείλωμεν; Ὀφείλει γὰρ σὺν τῇ πειθοῖ καὶ ἀξιοπίσ|ους εἰκόνας καὶ λίαν ἐπιφανεῖς ἔχειν τὸ λεγόμενον· οὐ γὰρ ἡ φαντασία τῆς λέξεως τῶν ζητουμένων ἀποκαλύπ|ει τὴν φύσιν, ἀλλ' ἡ τοῦ πράγματος ἀλήθεια σεμνύνειν τοῦ λόγου τὴν φύσιν ἐπίσ|αται· ἐπεὶ συμβαίνει τὸ φαινόμενον ψεύδεσθαι τὸ 10 ζητούμενον. Φανὲν γὰρ πολλάκις χρυσοῦν σκεῦος ἢ νόμισμα ὡραϊσμένον ἐν βαφῇ τὴν ὄψιν ἠπάτησε κεκρυμμένον ἔχον τῆς ὕλης τὸ ἄτιμον, καὶ φανείς τις οὐ φαῦλος ἐν μόνῳ τῷ σχήματι φαυλότητι τῶν ἔργων τὸ φανὲν ἡκύρωσεν· οὕτω λόγος ἔσ|ιν ὅτε σεμνῶς ἐπᾳδόμενος ἔθελξε τὴν ἀκοὴν καὶ τῇ ψυχῇ μετέ- δωκε τῆς σ|ωμυλίας λεληθότως τὴν βλάβην, οὐκ ἔχων ἀρετῆς στερρὸν τὸ ἀφή- 15 γημα. Διὸ φευκτέον τὴν σοφισ|ικὴν πανταχόθεν δεινότητα καὶ τὴν εἰλικρινῆ γνῶσιν ἀθρητέον σὺν τῷ καλῷ.

Πρῶτον[4] οὖν ἐκεῖνο πρεπόντως σκοπήσωμεν, εἰ τὸ γενόμενον ἐξ ὄντος ἢ μὴ ὄντος γέγονε. Καὶ εἰ μὲν ἐξ ὄντος, τούτῳ γένεσιν προσάπ|ειν οὐκ εὔλο- γον· εἰ δὲ καὶ προσαπ|έον, διά τι δηλονότι· εἰ δ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ[4] εἶναι 20 πεποίηκε, τίς ὑπόσ|ασιν τῷ μὴ ὑφεσ|ῶτι πρώην ἐχαρίσατο; Ὁ γὰρ τὸ μὴ ὂν εἰς οὐσίαν ἀναγαγὼν πολλῷ μᾶλλον τὸ γενόμενον καὶ λυθὲν ἀνασώσει καὶ βελτίονος ἀξιώσει προσθήκης καὶ λήξεως· τοῦτο γὰρ ἴδιον τῇ ἀγενήτῳ φύσει μεταβάλλειν τῶν γενητῶν εἰς τὸ κρεῖτ|ον τὴν ὕπαρξιν καὶ τὰ ἐν χρόνῳ πο-

Fol. 120, r°. νήσαντα ἄγειν εἰς ἀνανέωσιν καὶ τὰ βαφέντα τῷ τῆς πονηρίας ἰῷ ἀποσμῆξαι 25 τῇ χάριτι καὶ δευτέρας γενέσεως ὥσπερ καὶ ἀναπλάσεως ἀξιῶσαι τὰ καμόντα. Οὐ γὰρ αὖθις ὁ κόσμος βέλτιον σχῆμα λαβὼν καὶ ἀμφίασιν λύει τὴν ὑπόθεσιν, τοὐναντίον δ' εὐφραίνει, κρεῖτ|ον τοῦ προλαβόντος κάλλος ἐνδυσάμενος· μέ-

[1] In marg. περὶ ἀνασ|άσεως sec. manus. — [2] ἔννοιαν. — [3] ὑμῖν in marg. pr. manus. — [4] Comp. σημείωσαι. — εἰς τὸ in marg. sec. manus.

νειν γὰρ ἐν ταυτότητι πρέπει τῷ θείῳ μόνῳ, τὴν δὲ κτίσιν λαμβάνειν ἀλλαγὴν καὶ ἀλλοίωσιν. Παιδαγωγεῖ οὖν ἡ παροῦσα ζωὴ καὶ κατάστασις εἰς τὴν μέλλουσαν τῆς ἀφθαρσίας πανήγυριν καὶ προκατασκευάζεται εἰς τὴν ἀνωφερῆ καταντῆσαι λαμπρότητα. Μήτρᾳ γὰρ ἐχούσῃ βρέφος[1] ὁ νῦν ἔοικε βίος, ἀφεγγεῖ τῆς ἀγνοίας λήθῃ καὶ ἀσαφείᾳ κατέχων τὴν πᾶσαν τῶν πραγμάτων ὑπόστασιν, καὶ δεῖ τὸ πᾶν ὡς ἐκ χορίου[2] τοῦ νῦν αἰῶνος ἐκδυθῆναι βλάστημα καὶ δευτέραν ἐν φωτὶ τῆς ἀκηράτου μονῆς δέξασθαι διαγωγήν.

Σὺ δὲ θέλεις τὴν φθορὰν ὑπάρχειν ἀτέλεστον καὶ φύειν ῥυπαρῶς καὶ τελευτᾶν βδελυρῶς καὶ γεννᾶν καὶ γεννᾶσθαι καὶ τῇ λήθῃ καλύπτεσθαι, ἀβρύνεσθαι τὸ κακὸν καὶ τὴν συμφορὰν αὔξειν, ἐνδείᾳ τήκεσθαι καὶ πενίᾳ λεπτύνεσθαι, ἡμέρᾳ κακοπαθεῖν καὶ νυκτὶ κατευνάζεσθαι, ἐσθίειν ἐν ἡδονῇ, εἶτα πάλιν ἐν πικρότητι κόρῳ βαρεῖσθαι κἂν τῇ σπάνει δυσπετεῖν, δουλείαν ἐν ὁμοίῳ καὶ δεσποτείαν εἶναι, πλούσιον ἑστάναι καὶ πένητα κεῖσθαι, πίπλειν τὸν γέροντα καὶ τὸν νέον ἐγείρεσθαι, θηλὰς ἀκμάζειν καὶ τὸ βρέφος θηλάζεσθαι, φροντίδι κακοῦσθαι καὶ πόνῳ νοσηλεύεσθαι, μισεῖν τὴν ἀγροικίαν καὶ τὴν πόλιν ἀσπάζεσθαι, φεύγειν ἰσότητα καὶ διώκειν τὸ ἄνισον, τὴν φύσιν τῶν πραγμάτων ἐξ ἀνωμαλίας πολλῆς βασανίζεσθαι, ἐν χειμῶνι κατηφιᾶν κἂν τῷ θέρει φλέγεσθαι, ἔαρος ἄνθεσιν ἐν ὥρᾳ λαμπρύνεσθαι καὶ μετοπωρινοῖς ἀκροδρύοις ἐκτρέφεσθαι, γῆν ἐξορύττειν καὶ τὴν βῶλον ἐργάζεσθαι, πρέμνων ἀκρέμονας καὶ φυτῶν ἀποκνίζεσθαι, ὥραν ἐξ ὥρας λαμβάνειν ἀλλοίωσιν, ὁμοίους ἐξ ὁμοίων λαμβάνειν ἀπόφασιν, τυραννικῶς[3] τοῖς γένεσιν ἐμφωλεύειν ὠμότητα, κενοδοξίας ἐν κόσμῳ θρόνους ἐναποκεῖσθαι, ἀνατολὴν στασιάζειν καὶ τὴν δύσιν ταράττεσθαι, ἄρκτον φιλονεικεῖν καὶ μεσημβρίαν ἐρίζειν, χέρσον ὁμοῦ καὶ θάλασσαν τῇ περισπάσει κραδαίνεσθαι, τὸ χεῖρον ἐπιτάττειν καὶ τὸ κρεῖττον κελεύεσθαι, συκοφαντίαν ἰσχύειν καὶ τὰ συκοφαντούμενα τῶν πραγμάτων ἐκτρύχεσθαι, τραγῳδεῖσθαι τὴν ζωὴν καὶ τὸν βίον κωμάζεσθαι, ἁπαξαπλῶς τὴν φθορὰν ἐνδυσαμένην σειραῖς τὴν οἰκουμένην βιαίαις ἐλεεινῷ ταύτην ἐξαναλίσκειν τῷ σχήματι, καὶ λιμὸν Ὠγύγιον ἐφ' ἑκάστης ἁπλήστως[4] τὸ πᾶν ἐπινέμεσθαι, καὶ μὴ κἂν ὀψέ ποτε τὸ στυγητὸν τούτων παρελθεῖν καταπέτασμα καὶ τὸν κατηφῆ διαλυθῆναι πέπλον, μὴ τὴν ψυχὴν ἀπανθρώπου πέδης ἀπολυθῆναι, μὴ σιγῆσαι θρῆνον καὶ λωφῆσαι τὸ πένθος, μὴ τὴν ἐπιπολάζουσαν σβεσθῆναι κάκωσιν καὶ τὰς ἐπαλλήλους ἀρρωστίας κοπάσαι, μὴ τῶν κοσμοκρατόρων νεκρωθῆναι τὴν βίαν καὶ τῶν δυνασταζόντων παρακοπῆναι τὸ θράσος, μὴ τῶν στενοζόντων κουφισθῆναι τὸν

Fol. 120, v°.

Fol. 121, r°.

[1] βρέφος] βρέ prius omissum in marg. restituit pr. manus. — [2] χωρίου. — [3] τυραννικοῖς. — [4] ἀπλείστως.

πόνον καὶ τῶν θρηνούντων παρακληθῆναι τὸ δάκρυον, μὴ τῶν ἀσκητῶν ἐκλάμψαι τὰς ἀρετὰς καὶ τῶν ὑπερηφάνων σβεσθῆναι τὸ φρύαγμα, μὴ τῶν ἀδίκων κολασθῆναι τὰ ἔργα καὶ τῶν δικαίων ὀφθῆναι[1] τὸ κατόρθωμα, μὴ τῆς γοητείας κριθῆναι τὴν σπουδὴν καὶ τῶν ἁπλάστων τιμηθῆναι τὸ ἄδολον, μὴ τὸν λογικόν, ὡς ἔνι, δοξασθῆναι καὶ τὴν ἀλογίαν δεόντως ἐκριφῆναι, μὴ τοὺς εὐσεβῶς καμόντας σλεφθῆναι καὶ τοὺς ἀσεβῶς ζήσαντας αἰσχυνθῆναι, μὴ τοὺς ταλαιπωρήσαντας δι' ἀρετὴν ἐπαρθῆναι καὶ τοὺς ἐν ἀσελγείᾳ ταπεινωθῆναι τρυφήσαντας, μὴ πηγὰς ἐμφυλίων αἱμάτων καθαρθῆναι μηδὲ κρήνας καὶ ποταμοὺς ἐκκρῖναι τὴν θόλωσιν, μὴ χειμῶνα λῆξαι καὶ φρυκτωρίαν παῦναι, μὴ καθαρὸν κρατῆρα φανῆναι τὸν ἀέρα μηδ' οὐρανὸν τῶν ζόφων ῥῖψαι τὴν παχύτητα, μὴ τῶν μιασμάτων ἀπαλλαγῆναι τὴν γῆν μηδ' ἐκ τῆς ναυτιλίας ἡσυχάσαι τὴν θάλασσαν, μὴ τροχοῦ δίκην σλραφῆναι τὸν κόσμον καὶ σῶσαι τὴν οὐσίαν καὶ τὸ σχῆμα μεταβαλεῖν, μὴ τὸ πᾶν ἐν τῷ παντὶ δίχα τῶν ὑπερκοσμίων λαβεῖν ἀνανέωσιν καὶ ζωῆς εἰλικρινῆ δέξασθαι τὴν καινότητα, μὴ τῆς ἀπάτης ἐλεγχθῆναι[2] τὸ σόφισμα καὶ τῆς συνέσεως ζωπυρῆσαι τὸ παίδευμα, μὴ τὸ βλοσυρὸν πεσεῖν ἐπισκύνιον καὶ τῆς σεμνότητος ἀναγνωσθῆναι πίνακα[3], μὴ τῆς ἀλαζονείας σκυθρωπάσαι τὴν ὀφρὺν καὶ τῆς ἐγκρατείας αὐγασθῆναι τὸ πρόσωπον, μὴ δίαιταν ἀφανῆ γενέσθαι τὴν πρόσκαιρον καὶ ζωὴν ἀκατάλυτον λαβεῖν τὰ νῦν ἐκτρυχόμενα, μὴ φροντίδος ἀνηνύτου καὶ μώμου καὶ ὕβρεως ἀπαλλαγῆναι τὸν λογισμὸν μηδὲ συντριβῆναι τῆς μερίμνης τὸν ὄγκον, μὴ τὴν ἀκοσμίαν τὸν κόσμον ἐκδύσασθαι μηδὲ τὴν ἀπρέπειαν ἀπορρῖψαι τὴν ἐνταυθοῖ, ἔχειν δὲ εἰς ἀΐδιον τὸ λυπηρὸν ἔνδυμα καὶ ταῖς συμφοραῖς δαπανᾶσθαι συχνότερον.

Fol. 121, v°.

Ἡ γὰρ δοκοῦσα καθολικῶς φθορὰ κατεπάγεσθαι τῷ κόσμῳ καὶ ἀπώλεια ἀφθαρσίας ἐστὶν ἀρχὴ καὶ σωτηρίας ἀφορμή· δεύτερον γὰρ ζωῆς εὐτυχήσει καλλώπισμα, ἐπὰν ἡ λογικὴ φύσις δεύτερον ἐν ἀνασλάσει λήψεται γενέσεως λόγον ἀκατάλυτον. Τοῦ γὰρ ἀνθρώπου χάριν τὸ πᾶν μεταβάλλεται, ἐπεὶ καὶ χάριν αὐτοῦ κατὰ[4] τὴν ἀρχὴν ἠξιώθη γενέσεως· ἄνθρωπος γὰρ δι' ἑαυτὸν, οὐ δι' ἄλλον γέγονεν· οὐρανὸς δὲ καὶ γῆ καὶ τὰ τούτων ἴδια δημιουργεῖται δι' ἄνθρωπον καὶ δεῖ, τούτου λαμβάνοντος ἀλλαγὴν καὶ μεταβολὴν, συναλλαγῆναι τὸ πᾶν καὶ συναποσμήξασθαι. Ὡς γὰρ τεχνίτης οἶκον ἐν ἀρχῇ τεκτηνάμενος, εἶτ' ἐν χρόνῳ καμόντα καὶ τῇ πλώσει λυθέντα αὖθις ἀνιστᾷ καὶ κρεῖττονος ἀξιοῖ δημιουργίας καὶ χάριτος, μὴ πολυπραγμονῶν ποῖος ἐν ἀρχῇ πρῶτος ἢ δεύτερος ἢ τρίτος ἐν τῇ οἰκοδομῇ λίθος ἐναπέκειτο, ἀλλὰ τοὺς ἐσχάτους ἐν

[1] ὀφθεῖναι. — [2] ἐλεχθῆναι. — [3] πίναξ. — [4] παρὰ.

πρώτοις καὶ τοὺς πρώτους ἐν ἐσχάτοις καὶ τοὺς μέσους σποράδην ἐντάττων
οἰκοδομεῖ, λυπῶν οὐδὲν ἐν τούτῳ τὸ σχῆμα τοῦ τεχνήματος οὐδὲ τὴν σύνθεσιν
Fol. 122, r°. τῆς τέχνης ποιῶν διαβάλλεσθαι, κόσμον δὲ πρέποντα τῷ οἴκῳ περιβαλὼν καὶ
τῆς ἐπιφανείας καλλωπίσας τὸ εἶδος ὑπερβάλλοντα λαμβάνει τῆς τέχνης τὸν
ἔπαινον· τὸν αὐτὸν δὴ τρόπον τεχνίτης οἴκου λογικοῦ γενόμενος ὁ Θεὸς καὶ
ποιήσας ἄνθρωπον ἐν ἀρχῇ καὶ δειμάμενος θείας δυνάμεως σεμνὸν οἰκητήριον,
ἐκ πολλῶν ὁμοουσίων γενῶν οἷα λίθων[1] συγκείμενον, πολλοῖς αἰῶσι καὶ χρό-
νοις ποιηθέντα καὶ πολλοῖς ἁμαρτιῶν συμπεσόντα τοῖς πάθεσι καὶ τέλος ἄρδην
λυθέντα καὶ ἀπολόμενον[2] αὖθις ἀναστήσει, καὶ συνάξει τὴν φύσιν ἐπιστήμῃ
λεπτῇ καὶ δυνασταίᾳ σοφῇ καὶ τὰ ἐσκορπισμένα συλλέξει, μηδὲν τῶν πεσόν-
των ἀπολέσθαι συγχωρῶν, κἂν τοὺς πρώτους ἐν ἐσχάτῳ κατατάξῃ τῷ σχή-
ματι, κἂν τοὺς τελευταίους εἰς τὴν πρώτην ἀξίαν ἀναγάγῃ, οὐδὲν λυπήσει τὸ
πρᾶγμα, ἁρμόζουσαν ἑκάστῳ τῆς ἀναστάσεως διδοὺς τὴν ἀφήγησιν.

Κἂν γοῦν Πρίαμος, ὡς λέγεις, ἢ Νέστωρ πρὸ χιλίων ἐτῶν τετελεύτηκε,
κἂν ἕτερος πρὸ τριῶν τῆς ἀναστάσεως ἡμερῶν τελευτήσειεν, οὐδ' ὁπότερος
αὐτῶν λύπην ἄμετρον ἢ χαρὰν ἄπλετον ἀναστὰς λήψεται, ἀλλ' ἐξ οἰκείων ἕκα-
στος ἔργων κομιεῖται τὰ ἐπίχειρα, οὐ τὸν τῆς ἀναστάσεως λόγον, οὐδ' αὖ τὴν[3]
ταχύτητα οὐδ' αὖ τὴν βραδύτητα ἢ ψέγων ἢ ἐπαινῶν, ἀλλὰ τὴν αὐτοῦ πολι-
τείαν ἢ ὑμνῶν ἢ μεμφόμενος. Καὶ γὰρ περίοδος ἐτῶν παρὰ Θεῷ χιλίων ὡς
ἡμέρα μία βραχυτάτη λελόγισται, καὶ αὖθις τὸ βραχύ, ἣν αὐτῷ δοκῇ, μυρίων
αἰώνων ὑπάρχει παράτασις· ὥστε μικρολόγων ταῦθ' ὑπάρχει τὰ ῥήματα, Φα-
Fol. 122, v°. σκόντων· « εἰ τὸν πρὸ τριῶν ἡμερῶν τελευτήσαντα ὁμοίως ἀναστήσει τῷ πρὸ
χιλίων ἐτῶν, ἀδικεῖ τὰ μέγιστα. » Καὶ γὰρ οἱ πρὸ χιλίων ἢ δισχιλίων ἐτῶν
τὴν ζωὴν δεξάμενοι πεντακοσίοις ἢ καὶ πεπαιτέρω ἔτεσι τῷ βίῳ κατετρύφη-
σαν, καὶ ὁ πρὸ τριῶν ἡμερῶν, τριάκοντα οὐδ' ὅλοις, καὶ τοῦτο ταλαιπωρῶν,
ἀποζήσας ἔτεσι τὸν βίον κατέστρεψεν· ὥστ' οὐ μεγάλα εἰ παραμυθίας ἕνεκεν,
παραυτὰ θανών, εἶδε τὴν ἀνάστασιν· στάθμῳ γάρ, οἶμαι, τὸ θεῖον καὶ μέτρῳ
καὶ κανόνι τὴν ἑκάστου ζωὴν δεόντως ἐστάθμησε, καὶ τοὺς μὲν ἐδικαίωσεν
ἑπτακόσια ζῆν ἔτη καὶ τελευτήσαντας πάλιν καθεύδειν ἔτη πολλά, ἄπλετα
σωμάτων μεγέθη διαναπαύων ἔτη, τοὺς δὲ πεντήκοντα, πολλαῖς ταλαιπωρίαις,
καὶ παραυτὰ τούτοις διδοὺς τὴν ἀνάστασιν, ὥσπερ τάχιον αὐτοὺς ἐκ τῆς δυσχε-
ρείας παραμυθησάμενος[4].

Διὸ τὴν τοιαύτην πενιχρὰν καὶ πτωχὴν ὑπάρχουσαν ἔννοιαν ὀφείλεις ἀπο-
βαλεῖν καὶ μὴ νομίζειν ἀδικεῖσθαι τοὺς πάλαι θανόντας καὶ βράδιον ἀναστάν-

[1] λίθον. — [2] ἀπολλόμενον. — [3] αὐτὴν. — [4] παραμυθυσάμενος.

τας, μηδὲ μὴν ἐκεῖνο ψάλλειν τὸ παιδιῶδες ἐν τῷ λέγειν· «Πῶς δυνατὸν ναυαγήσαντά τινα καὶ ὑπὸ ἰχθύων βρωθέντα, εἶτα τῶν ἰχθύων ὑπὸ ἀνθρώπων βρωθέντων, εἶτα τῶν ἀνθρώπων σφαγέντων καὶ βρωθέντων ὑπὸ κυνῶν καὶ τέλος τῶν κυνῶν ἀναλωθέντων ὑπὸ γυπῶν, αὖθις ἀναβιῶναι καὶ τὴν ἀνάστασιν λαβεῖν, ὑπὸ τοσούτων ἀναλωθέντα ζώων;» Ταῦτα γὰρ οὐ νηφόντων οὐδὲ τῶν ἐγρηγορότων ὑπάρχει τὰ ῥήματα, ἀλλὰ τῶν ἐν μέθῃ κοιμωμένων καὶ ζωγραφούντων ὀνείρους, εἰ[1] μηδὲ κατὰ τὸ πῦρ ὁ τοῦ πυρὸς ποιητὴς ἰσχύσειεν ἐνεργεῖν, ποιῶν τὴν ἀνάστασιν· πῦρ[2] μὲν γὰρ ἔστιν ὅτε ἄργυρον ἐν γῇ καὶ χρυσὸν ἀποκείμενον, μόλυβδον καὶ κασσίτερον[3], χαλκὸν καὶ σίδηρον ὡς εἰπεῖν που κρυπτόμενον, πυρῶσαν τὴν γῆν καὶ χωνεῦσαν τὴν ὕλην, ἰδίως ἐξάγει τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ἰδίως ἐξάγει τὸν χαλκόν, ἰδίως τὸν μόλυβδον[4], κασσίτερον αὖθις καὶ πάλιν τὸν σίδηρον, μηδὲν ἀπολέσθαι συγχωροῦν τῆς οὐσίας, εἰ μή που τί γεῶδες ἐν αὐτοῖς τὸ φθαρῆναι δυνάμενον. Εἴ γε οὖν τοσοῦτον σθένει τοῦ πυρὸς ἡ δύναμις καὶ τοσαύτην δρασήριον ἔχει τὴν ἐνέργειαν ὥστ' ἐξαγαγεῖν ἐξ ὕλης ὕλην καθαρὰν καὶ σῴζειν ἑκάστῳ τὴν οὐσίαν ἀλύμαντον, κἂν εἰς μυρίας ὁ χρυσὸς ἐμπέσῃ τὰς χαράδρας, κἂν εἰς ἄπειρα ψήγματα λυθεὶς καὶ κατασπαρεὶς ἐν βορβόρῳ, ἐν πηλοῖς, ἐν χώμασιν, ἐν κοπρίαις, πᾶσι τὸ πῦρ ἐπιβληθὲν σάαν τῶν ἀπολομένων[5] ἐκβάλλει τὴν ὕπαρξιν, τί φῶμεν περὶ τοῦ τὴν φύσιν τοῦ πυρὸς ὑποστήσαντος; ἆρ' οὐδ' ἐφαμίλλως αὐτῷ τὸν μυρίαις ἄνθρωπον ὕλαις ἐναποκείμενον κειμήλιον[6] λογικὸν καὶ χρυσοῦ τιμαλφέστερον[7] ἰσχύσειεν ἀλλάξαι καὶ παραστῆσαι σώους τοὺς ἐν γῇ, τοὺς ἐν θαλάσσῃ, τοὺς ἐν ποταμοῖς ἢ λίμναις ἀπολομένους, τοὺς ὑπὸ θηρίων βρωθέντας ἢ ὀρνέων, τοὺς εἰς κόνιν λεπτὴν λυθέντας καὶ ἄπειρον[8], ἀλλ' ἀδρανέστερος τοῦ πυρὸς εὑρεθήσεται καὶ τοῖς συλλογισμοῖς οἷς ἔφης ἀδυνατῶν ὀφθήσεται;

Fol. 123, r°.

Τὴν γὰρ φαντασίαν ἣν ἐφαντάσθης ἐκείνην τὴν ἄτοπον, περὶ τοῦ μὴ δύνασθαι Θεὸν τὰ πάντα ποιεῖν, ἐκ λογισμῶν οἰόμενος αὐτὴν ξέειν πιθανῶς, καθάπερ ἔρεισμα δίχα κρηπῖδος[9], οὐχ ἕστηκε. Πόθεν γοῦν σοι τὸ πάντα δύνασθαι τὸν Θεὸν σαφηνίσωμεν[10]; ἀπ' αὐτῆς τῆς θείας οὐσίας ἢ ἀπὸ τοῦ πρέποντος; ἢ τοῦ πρώτου καὶ δευτέρου τὸν λόγον βασανίσαντες, ἀπ' αὐτῆς, εἰ βούλει, τῆς ἀχράντου φύσεως πρῶτόν σοι τοῦ ζητουμένου τὸν νοῦν ἀπαγγείλωμεν; ὡς εἰ τὸ γενόμενον δυνάμενος ὁ Θεὸς ποιῆσαι ἵνα μὴ ἐγένετο, ἀνάγκη τὸ γενητὸν ἀνελθεῖν εἰς ἀγένητον· εἰ δὲ τοῦτο δῶμεν, δύο ἀγενήτων ἑπακολουθεῖ λόγος· μᾶλλον δ' οὐδὲν γενητόν, ἀλλὰ τὸ πᾶν ἀγένητον· πολὺς δ' ὁ

Fol. 123, v°.

[1] ἤ. — [2] πυρῶν. — [3] κασίτερον hic et paulo infra. — [4] μόλιβδον. — [5] ἀπολλομένων ut supra. — [6] κειμίλιον. — [7] τημαλφέστερον. — [8] ἤπειρον. — [9] κριπίδος. — [10] σαφηνίσομεν.

μῦθος ἔψεται τῇ διανοίᾳ ταύτῃ· οὕτω γὰρ γενητὸν ἔσται καὶ τὸ ἀγένητον· ἐλθόντος δὲ τοῦ ἀγενήτου εἰς τὸν τοῦ γενητοῦ λόγον, αὖθις τοῦ γενητοῦ λόγος οὐχ ὑφίσταται· τίς γὰρ ἔσται τοῦ γενητοῦ[1], μὴ ὄντος τοῦ ἀγενήτου[2], ποιητής;

Ὅμοιον δ' ἐκείνῳ τοῦτ' ἐστὶ τὸ ἐρώτημα, εἰ δύναται Θεὸς, ἀγένητος ὢν, ἑαυτὸν ποιῆσαι γενητόν· λεγόντων δέ τινων ὡς ἀμήχανον τὸ ἀγένητον γενέσθαι γενητὸν, ἀδύνατος[3]. Ὡς δὲ δίκαιος, δικάσει τῶν καταπονουμένων ποιῶν τὴν ἐκδίκησιν· εἰ γὰρ μὴ τοῦτο ποιήσειεν, ἀκριβῶς εὐήθεια τὸ δυνατὸν καὶ μωρία[4] φανήσεται, ποιεῖν μὲν πάντα καὶ διατορεύειν νόμῳ δημιουργίας, καταπλύσαι δὲ τούτων, καὶ μηδὲ τιμῆσαι τὰ τὴν ἀρετὴν ἐν βίῳ ἀσπασάμενα, μήτε κρῖναι τὰ τὴν κακίαν <ἐν> τῷ ζῆν τιμήσαντα· ἀλλὰ λήθῃ καὶ τὸ καλὸν ὁμοῦ καὶ τὸ ἐναντίον ἐᾶσαι βαπτισθῆναι, καὶ μήτε τὴν ἀρετὴν ὡς ἀρετὴν σέβεσθαι μήτε τὴν κακίαν
Fol. 124, r°. γυμνῶσαι, μὴ τὴν ἄσκησιν λαβεῖν τοῦ κάμνοντος καὶ τοῦ ἀκολάστου τὴν χλιδὴν ἀπελέγξαι, μὴ τὸν κακοπαθήσαντα χαροποιῆσαι πένητα μηδὲ τὸν τρυφήσαντα δειγματίσαι πλούσιον, μὴ τῶν ῥυπλομένων κρῖναι τὴν μαλακότητα μηδὲ τῶν αὐχμηρῶν σεμνῦναι τὸ πολίτευμα, ἀλλ' ἁπαξαπλῶς ὡς οὐ γενομένην τὴν ἀνθρωπείαν Φύσιν σιγῇ σαλευθεῖσαν, μηδὲ τὴν κακίαν μηδὲ τὴν ἀρετὴν αὐτῆς ἐν ἐξετάσει λαβεῖν. Οὐχ ἁρμόζει τῇ Θείᾳ προνοίᾳ τοῦτο[5] τὸ δόγμα, οὐκ ἀδελφὸν τῇ ἀκηράτῳ Φύσει τοῦτο τυγχάνει τὸ βούλημα, ἀλλότριον δὲ πάμπαν καὶ ξένον καὶ ὀθνεῖον καὶ τῆς ἀχράντου περιωπῆς ἐξωρισμένον μακρὰν τὸ τῶν οἰκείων οὕτως ἀμελεῖν ποιημάτων, τὸ περιορᾶν τῆς δημιουργίας τὸν λόγον ἀπολλύμενον[6], τὸ χαίρειν ἀνθρώπων ἀπελθόντων εἰς ἅδηλον.

Διὸ πάντα μὲν ἀνασῴσει καὶ τούτοις δευτέραν ἀποδώσει τὴν ὕπαρξιν· κρινεῖ[7] δὲ τὸν κόσμον ἐφ' οἷς ἐπλημμέλησε, φείσεται δὲ τῶν αὐτῷ πιστευσάντων εἰλικρινῶς, κολάσει δὲ τοὺς αὐτὸν λαβεῖν μὴ θελήσαντας μηδὲ τῆς ἐπιφανείας σέψαντας τὸ μυστήριον. Ὡς γὰρ ὅσοι τῶν πώλων ἐν γράμματι βασιλικῷ καὶ τύπῳ σεσημείωνται[8], οὗτοι βασιλικῆς αὐλῆς καὶ Φάτνης ἀξιοῦνται, κἂν οὐτιδανοὶ τὸ σῶμα καὶ τὴν ἀλκὴν ἀδρανεῖς καὶ ὀκνηροὶ τὸν δρόμον, κἂν ἕξιν[9] οὐκ ἀνάλογοι, διὰ τὸν χαρακτῆρα τίμιοι καὶ ἐπιφανεῖς· ὅσοι δὲ βασιλικὸν οὐκ ἔχουσι σήμαντρον, κἂν εἶεν εὐκίνητοι, κἂν ὀξεῖς, κἂν ἀκίχητοι,
Fol. 124, v°. κἂν ἐκ πατέρων εἶεν τροχαλοὶ, κἂν ἐπίσημοι, ἔξω βασιλικῶν αὐλῶν ἀπελαύνονται (καὶ οὐ μῦθος τὸ πλάσμα οὐδ' εὑρησιλόγου τινὸς τὸ διήγημα, ἀλλ' ἱστορία ταῦτα καὶ πραγμάτων ἐναργῶν ἀφήγησις ἀληθής)· τὸν αὐτὸν τοίνυν τρόπον ὅσοι τῷ σωτηρίῳ σημείῳ ἐσφραγίσθησαν, ὅσοι παντοκρατορικὸν ὄνομα ἐν τῷ τῆς ψυχῆς ἐχάραξαν πίνακι, ὅσοι τῶν οἰκείων ἁμαρτημάτων ἐπικρα-

[1] ἀγενήτου. — [2] γενητοῦ. — [3] Nonnulla deesse videntur. — [4] μυρία. — [5] τοῦτο in marg. sec. manus. — [6] ἀπολλούμενον. — [7] κρινεῖ in marg. sec. manus. — [8] σεσημειῶται. — [9] εἴσιν.

τεσσέραν τὴν εἰς Θεὸν ὁμολογίαν ἔκριναν, οὗτοι τὸν κίνδυνον τῆς μελλούσης διέδρασαν κρίσεως, οὗτοι τὴν λεγομένην ἀβλαβῶς διέπλευσαν Χάρυβδιν[1] ὀφθαλμῷ πίστεως τὸ κοινὸν τῆς σωτηρίας σέλας ἀτενίσαντες καὶ τοῦ ἐπιδημήσαντος τὴν ἄφθονον λύτρωσιν. Ὡς γὰρ ὁ Θώρακα πολὺν καὶ πυκνὸν καὶ ἀλυσιδωτὸν[2] ἐνδυσάμενος ἄτρωτος ἐν πολέμῳ κἂν τῇ περιστάσει τῶν δεινῶν ἀνάλωτος, οὕτως ὁ τὴν ὁμολογίαν τοῦ κρείττονος ἐνδυσάμενος τὴν ἀπειλὴν τῆς καθολικῆς οὐ δέδοικε κρίσεως. Ὥσπερ γὰρ τὸ πῦρ οὐ φλέγει τὴν λεγομένην ἀμίαντον οὐδὲ τὸ φάσγανον καίει, λαμπρύνει δὲ καὶ πυροῖ, οὕτω τοὺς ἀμιάντῳ βαφέντας ὀνόματι οὐ πῦρ, οὐ κρίσις ποτὲ διαθήσεται, ἀλλὰ τὴν ἐπ' αὐτοῖς ὀνομασίαν φεύξεται.

Ὡς γὰρ τὸν ὄψιν ἔχοντα τὴν δυναμένην ὁρᾶν ἠνεῳγμένην ἥλιος φωτίζει κατακόρως, κεκλεισμένην δὲ ταύτην τῷ σκότῳ παραδίδωσιν, οὐδὲν αὐτὸς ἀδικῶν καὶ λυπῶν τὴν ὅρασιν, ἀλλ' ὁ τὴν ὅρασιν ἔχων ἑαυτὸν ἐζημίωσεν, οὐδὲν ἐκ τῆς ἡλιακῆς ἀκτῖνος ἀδικηθεὶς, ἀλλ' ἐξ ὧν ἐδύνατο φωτὸς ὀφθῆναι συνεργὸς,
Fol. 125, r°. ἐκ τούτων σκότον ἑαυτῷ[3] κατεσκεύασε, κρίσιν φωτὸς ἐν τῷ βλέπειν λαμβάνων τὸν ἥλιον, καὶ σκότου κρίσιν ἔχων ἐν τῷ[4] μὴ βλέπειν τὸν ἥλιον, δικασθὴς ἄμφω πραγμάτων αὐτὸς ἑαυτῷ γενόμενος καὶ κριτής· οὕτω τις Θεῷ πιστεύων καὶ τούτῳ προσκείμενος, φωτὶ νοερῷ τυγχάνοντι καὶ θείῳ, κοινωνὸς[5] ἐν ᾧ πιστεύει εὑρίσκεται τοῦ Θεοῦ, σκότον ἀγνοίας καὶ ἀμαθίας φυγὼν, καὶ λαμπηδόνι δογμάτων οὐρανίων τρεφόμενος, αὐτὸς ἑαυτῷ διὰ τοῦ βλέπειν τὸ θεῖον τὴν σωτηρίαν προμνώμενος, αὐτὸς ἔχων ἱκανὸν καὶ πολὺ φυλακτήριον ἐν τῷ πιστεύειν τὸ σωτήριον φάρμακον. Ὁ δ' ἐκουσίᾳ τυφλότητος ἀπιστίᾳ πηρούμενος, καὶ τὸ κοινὸν τῆς αἴγλης φῶς ἀποστρεφόμενος ἐν τῷ σκότει νήχεται ὡς ἐν βυθῷ κυώδαλον, ἀρετῆς ἔχων ἀτελῆ κατορθώματα, κἂν σωφρονῇ δίχα φωτὸς, οὐκ ἔχει τὸν ἔπαινον· κἂν κοινωνῇ τοῖς πέλας, οὐ λαμβάνει σεμνότητα· κἂν δικαιοπραγῇ κριτὴν τοῦ πράγματος τὸ φῶς μὴ κτησάμενος, ἐπίληπλα κάμνει, μὴ φυγὼν τὴν διαβολήν· κἂν φυσικῷ δικαίῳ τὴν ψυχὴν ἐκπεπαίδευται μισῶν ἁρπαγὴν καὶ κλοπῆς ἀπεχόμενος, γάμων ἀλλοτρίων οὐ νοθεύων νόμιμα, οὐ προπηλακίζων[6], οὐχ ὑβρίζων τὸν γείτονα, ὑπερμαχῶν πατρίδος, ὑπὲρ γένους κακοπαθῶν, παντοῖα τῶν ἔργων ἀθρυνόμενος κάλλη, ἀκαθοσίωτός ἐστι καὶ φροῦδα πάντα ποιεῖ, τὴν ἀνώλεθρον δεσποτείαν τῶν ὑπ' αὐτοῦ πραττομένων κριτὴν οὐ δεχόμενος.

Fol. 125, v°. Ὥσπερ γὰρ δίχα φωτὸς τοῦ καλοῦ τὸ κάλλος οὐκ ἔχει τὸν ἔπαινον, καὶ δίχα τοῦ μέτρου τῶν μετρουμένων ὁ λόγος οὐ λαμβάνει τὸ πλήρωμα, οὕτω καὶ

[1] χάρυβδην. — [2] ἁλυσηδωτὸν. — [3] ἑαυτὸν. — [4] τοῦ. — [5] *κοινωνὸς* in marg. sec. manus. — [6] προπιλακίζων.

πρᾶξις ἀγαθὴ καὶ πᾶσα τῶν ἔργων ἀρετὴ καὶ διάθεσις, οὐ δεχομένη δοκιμασίην τοῦ παντεφόρου βλέμματος τὸν ἀκοίμητον ὀφθαλμὸν, μαργαρίτης ὑπάρχει πηλῷ κεκαλυμμένος, οὗ τὸ κάλλος οὐκ ἐν φωτὶ, ἀλλ' ἐν φορυτῷ[1] κέκρυπται. Τίς γὰρ, εἰπέ μοι, τὴν σωφροσύνην σίέψει τοῦ σώφρονος; τίς τὸν σίρατιώτην μετὰ τὴν ἀρισίείαν ὀψωνίοις τιμήσει[2]; τίς τὸν ἀγωνισίὴν ἀξιώσει βραβείων; οὐκ αὐτὸς κατ' αὐτὸν[3] ὁ δρόμος ἐπίληπίος; οὐχὶ δίχα σίρατηγοῦ τοῦ σίρατευσαμένου φροῦδον τὸ κατόρθωμα; οὐκ ἄνευ τοῦ σίέφοντος οἰκτρὸν τοῦ σώφρονός ἐσίι τὸ ἀγώνισμα; οὐκ ἄνευ τοῦ βασιλέως τῶν ὑπηκόων ὁ φόρος ἀνόνητος; Οὕτω δικαιοσύνης παντοίας κατόρθωμα, εἰς ὄνομα καὶ τιμὴν τοῦ κτίσαντος μὴ γινόμενον, γυμνὸν ὑπάρχει τοῦ τέλους τῶν ἀγαθῶν· τοὐναντίον δέ τις τῶν πρατίομένων πισίεύων εἶναι καὶ τῶν δρωμένων ἔφορον καὶ δικασίὴν ἱκανὸν, κἂν ἐναγὴς ὑπάρχῃ κἂν ἐπιτηδευμάτων ἀσέμνων διάκονος, κἂν ἐδδελυγ[μένων] ἔργων καθέσίηκε ζηλωτὴς, ὑπ' ὄψιν τοῦ κτίσαντος τῶν οἰκείων ἔργων ἄγων τὴν ἐξέτασιν, ὡς ὁ κάμνων γυμνώσας ἰατρῷ φιλανθρώπῳ τὰ πάθη τοῦ σώματος, ἐλευθεροῦται πάσης ἀλγηδόνος καὶ ταραχῆς καὶ μυρίους ἐκβάλλει πλημμελημάτων τοὺς μώλωπας· ἱκανὸς γὰρ ὁ Σωτὴρ τοῦ μὲν σω.....

[1] φωρυτῷ. — [2] F. τιμήσειε in cod. — [3] Fors. καθ' αὑτόν.

CORRIGENDA.

Page 10, ligne 7, πεινάσας. Cod. πεινώσας.
Page 15, ligne 9, ἀθρήσωμεν. Cod. ἀθροίσωμεν.
Page 23, ligne 9, ὁρμωμένην vel ὡρμημένην. Cod. ὡρμωμένην.
Page 28, ligne 1, καταρρητορεύσαντος. Cod. καταρητορεύσαντος. — Ligne 13, λέξῃ. Cod. λέξοι.
Page 29, ligne 10, οὐδὲν sive οὐδὲ ἓν. Cod. οὐδ' ἓν.
Page 70, dele not. 25.
Page 76, ligne 9, πεπονθούσης, vix tolerandum; scribi tamen potuit ea ætate.
Page 90, ligne 17, ἐνεσλὸς. Cod. ἐνεσλὼς.
Page 99, ligne 11, ἀπερριμμένων. Cod. ἀπεριμμένων.
Page 103, ligne 24, μεταβαλλόμενον. Cod. μεταβαλόμενον.
Page 104, ligne 6, κρύσλαλλον. Cod. κρύσλαλον.

INDEX.

LIBER PRIMUS.

Pages.

Cap. VI. — De Berenice seu hæmorrhousa..... 1

LIBER SECUNDUS.

Cap. VII. — Solutio de dicto : Nolite arbitrari quia venerim mittere pacem in terram..... 4

Cap. VIII. — Solutio de dicto : Quæ est mater mea, et qui sunt fratres mei?.. 9

Cap. IX. — Solutio de dicto : Nemo bonus nisi unus Deus; et de dicto : Bonus homo de bono thesauro cordis sui profert bonum..... 12

Cap. X. — Solutio de dicto : Domine, miserere filii mei, quia lunaticus est. 15

Cap. XI. — Solutio de dicto : Si ego testimonium perhibeo de me, testimonium meum non est verum..... 18

Cap. XII. — Quæstio de discrepantia Evangelistarum..... 20

Cap. XIII. — Quæstio de dicto : Ad Iesum autem cum venissent, ut viderunt eum iam mortuum, non fregerunt eius crura..... 22

Cap. XIV. — Quæstio de resurrectione Christi et manifestatione..... 23

Cap. XV. — Quæstio de dicto : Nunc judicium est mundi, nunc princeps hujus mundi eicietur foras..... 24

Cap. XVI. — Quæstio de dicto : Non potestis audire sermonem meum..... 26

Cap. XVII. — Solutio de discrepantia Evangelistarum..... 28

Cap. XVIII. — Solutio de dicto : Ad Iesum autem cum venissent, ut viderunt eum iam mortuum, non fregerunt eius crura..... 32

Cap. XIX. — Solutio de resurrectione Christi et manifestatione..... 33

Cap. XX. — Solutio de dicto : Nunc iudicium est mundi, nunc princeps huius mundi eicietur foras..... 37

Cap. XXI. — Solutio de dicto : Non potestis audire sermonem meum..... 42

LIBER TERTIUS.

Prooemium..... 51

Cap. I. — Quæstio de passione Christi..... 52

Pages.

Cap. II. — Quæstio de dicto : Si possibile est, transeat a me calix iste.... 53
Cap. III. — Quæstio de dicto : Si enim crederetis Moysi, crederetis forsitan et mihi.... 54
Cap. IV. — Quæstio de porcis ac dæmoniis.... 55
Cap. V. — Quæstio de dicto : Facilius est camelum per foramen acus transire, quam divitem intrare in regnum cœlorum.... 58
Cap. VI. — Quæstio de dicto : Quarta autem vigilia noctis, venit ad eos ambulans super mare.... 60
Cap. VII. — Quæstio de dicto : Nam semper pauperes habetis vobiscum : me autem non semper habetis.... 62
Cap. VIII. — Solutio de passione Christi.... 64
Cap. IX. — Solutio de dicto : Si possibile est, transeat a me calix iste.... 69
Cap. X. — Solutio de dicto : Si enim crederetis Moysi, crederetis forsitan et mihi.... 74
Cap. XI. — Solutio de porcis ac dæmoniis.... 76
Cap. XII. — Solutio de dicto : Facilius est camelum par foramen acus transire, quam divitem intrare in regnum cœlorum.... 80
Cap. XIII. — Solutio de dicto : Quarta autem vigilia noctis, venit ad eos ambulans super mare.... 84
Cap. XIV. — Solutio de dicto : Nam semper pauperes habetis vobiscum : me autem non semper habetis.... 90
Cap. XV. — Quæstio de dicto : Nisi manducaveritis carnem Filii hominis, et biberitis eius sanguinem, non habebitis vitam in vobis... 94
Cap. XVI. — Quæstio de dicto : Et si mortiferum quid biberint, non eis nocebit.... 96
Cap. XVII. — Quæstio de grano sinapis.... 97
Cap. XVIII. — Quæstio de dicto : Mitte te deorsum.... 98
Cap. XIX. — Quæstio de dicto : Dixit Petro : Vade post me, Satana.... 99
Cap. XX. — Quæstio de dicto : Septuagies septies.... 100
Cap. XXI. — Quæstio de Ananiæ et Saphiræ morte.... 101
Cap. XXII. — Quæstio de Petro e carcere liberato ab Angelo.... 102
Cap. XXIII. — Solutio de dicto : Nisi manducaveritis carnem Filii hominis, et biberitis eius sanguinem, non habebitis vitam in vobis.... 103
Cap. XXIV. — Solutio de dicto : Et si mortiferum quid biberint, non eis nocebit.... 108
Cap. XXV. — Solutio de grano sinapis.... 111
Cap. XXVI. — Solutio de dicto : Mitte te deorsum.... 113
Cap. XXVII. — Solutio de dicto : Dixit Petro : Vade post me, Satana.... 115
Cap. XXVIII. — Solutio de Ananiæ et Saphiræ morte.... 119
Cap. XXIX. — Solutio de Petro e carcere liberato ab Angelo.... 122
Cap. XXX. — Quæstio de circumcisione Timothei.... 125
Cap. XXXI. — Quæstio de dicto : Et dicit : Ego sum vir Iudæus; et de dicto :

Pages.

Accedens autem tribunus, dixit illi : Dic mihi si tu Romanus es. At ille dixit : Etiam 126
Cap. XXXII. — Quæstio de dicto : Quis militat suis stipendiis unquam?..... 127
Cap. XXXIII. — Quæstio de dicto : Debitor est universæ legis faciendæ..... 128
Cap. XXXIV. — Quæstio de dicto : Lex autem subintravit ut abundaret delictum 129
Cap. XXXV. — Quæstio de dicto : Nolo autem vos socios fieri dæmoniorum... 130
Cap. XXXVI. — Quæstio de dicto : In novissimis temporibus discedent quidam a fide..... 131
Cap. XXXVII. — Solutio de circumcisione Timothei..... 132
Cap. XXXVIII. — Solutio de dicto : Et dicit : Ego sum vir Iudæus, et de dicto : Accedens autem tribunus dixit illi : Dic mihi si tu Romanus es. At ille dixit : Etiam 134
Cap. XXXIX. — Solutio de dicto : Quis militat suis stipendiis unquam?..... 136
Cap. XL. — Solutio de dicto : Debitor est universæ legis faciendæ..... 138
Cap. XLI. — Solutio de dicto : Lex autem subintravit, ut abundaret delictum. 141
Cap. XLII. — Solutio de dicto : Nolo autem vos socios fieri dæmoniorum... 145
Cap. XLIII. — Solutio de dicto : In novissimis temporibus discedent quidam a fide 148

LIBER QUARTUS.

Prooemium..... 157
Cap. I. — Quæstio de dicto : Præterit figura hujus mundi..... 158
Cap. II. — Quæstio de dicto : Nos, qui vivimus, rapiemur in nubibus..... 159
Cap. III. — Quæstio de dicto : Prædicabitur hoc Evangelium in universo orbe. 161
Cap. IV. — Quomodo Dominus per visionem loquitur Paulo et quomodo permisit Petrum crucifigi..... 162
Cap. V. — Quæstio de dicto : Videte, multi enim venient, dicentes : Ego sum Christus..... 163
Cap. VI. — Quæstio : Quis sermo de Judicio in Apocryphis?..... 164
Cap. VII. — Quæstio de dicto : Complicabitur cœlum sicut liber, et omnes stellæ cadent sicut folia..... 165
Cap. VIII. — Quæstio de fermento, de grano sinapis et de margarita..... 166
Cap. IX. — Quæstio de dicto : Abscondisti hæc a sapientibus et prudentibus, et revelasti ea parvulis..... 167
Cap. X. — Quæstio de dicto : Non egent qui sani sunt medico, sed qui male habent..... 168
Cap. XI. — Solutio de dicto : Præterit figura hujus mundi..... 169
Cap. XII. — Solutio de dicto : Nos, qui vivimus, rapiemur in nubibus..... 174
Cap. XIII. — Solutio de dicto : Prædicabitur hoc Evangelium in universo orbe. 178
Cap. XIV. — Solutio de supplicio Petri et Pauli..... 181

Pages.

Cap. XV. — Solutio de dicto : Videte, multi enim venient dicentes : Ego sum Christus 184

Cap. XVI. — Solutio de Judicio in Apocryphis et de dicto : Complicabitur cœlum sicut liber 185

Cap. XVII. — Solutio de fermento, de grano sinapis et de margarita et de dicto : Abscondisti hæc a sapientibus 191

Cap. XVIII. — Solutio de dicto : Non egent qui sani sunt medico, sed qui male habent 194

Cap. XIX. — Quæstio de dicto : Sed abluti estis, sed sanctificati estis 198

Cap. XX. — Quæstio de Monarchia 199

Cap. XXI. — Quæstio de Angelis immortalibus et de Tabulis digito Dei scriptis. 200

Cap. XXII. — Quæstio de incarnatione Verbi 202

Cap. XXIII. — Quæstio de dicto : Deos non maledices 203

Cap. XXIV. — Quæstio de resurrectione carnis 204

Cap. XXV. — Solutio de dicto : Sed abluti estis, sed sanctificati estis 206

Cap. XXVI. — Solutio de Monarchia 211

Cap. XXVII. — Solutio de Angelis immortalibus et de Tabulis digito Dei scriptis. 214

Cap. XXVIII. — Solutio de incarnatione Verbi 216

Cap. XXIX. — Solutio de dicto : Deos non maledices 218

Cap. XXX. — Solutio de resurrectione carnis 220

208.34 *
M118

49801

MACARIUS MAGNES

AUTHOR Apocriticus He Monogenes

Macarii Magnetis Quae Supersunt

TITLE Ex Inedito Codice
Edidit C. Blondel.

DATE LOANED | BORROWER'S NAME

FEB 5 1974

APR 2 5 1975

0 208.34
M 118

49801